Ὁ Ἰωσήφ: Τὰ τὴν διαίρεσιν ταύτην καὶ ποιήσαντα καὶ ποιοῦντα εἰσὶ μὲν καὶ ἄλλα μυρία, ἐξ ἐκείνων δὲ καὶ ταῦτα. Ἀλλὰ μὴ δυσχεράνητε, διεξιόντος μου τὰ-
130 ληθῆ.

Οἱ ὅλοι: Κέλευσον, κῦρι.

Ὁ Ἰωσήφ: Ὅτι ὑμεῖς οἱ κατὰ καιρῶν διαδοχὰς τὰς ἐπισκοπὰς τῆς Κύπρου διαδεχόμενοι τὸν Ῥώμης ἅγιον ὁμολογεῖτε καὶ τοῦ μακαρίου Πέτρου μόνον διάδοχον ἀληθῆ.

135 *Ὁ ἡγούμενος*: Ὄχι.

Ὁ Ἰωσήφ: Ἀλλὰ ναί.

Ὁ Ἀμμοχώστου: Ναὶ κῦρι, ἀλλὰ λέγομεν, «σωζομένης τῆς πίστεώς μου».

‖ **(f. 267v)** *Ὁ Ἰωσήφ*: Τοῦτο οὐδὲν ἡμᾶς ὠφελεῖ. Ὅμοιον γάρ ἐστιν ὡς εἴ τις ἐρωτώμενος ὀρθοδόξων, «ὁμολογεῖς ἀληθεῖς θεοὺς εἶναι τὰ εἴδωλα», ἢ τό γε
140 μετριώτερον «στέργεις τὴν τῶν Ἀρμενίων καὶ μόνην δόξαν», ὁ δὲ ἀποκρίνοιτο, «ναί, σωζομένης τῆς πίστεώς μου», θαρρῶν ὅτι ἡ προσθήκη αὕτη βοηθεῖ τούτῳ δῆθεν καὶ ἀναιρεῖ τὴν ἐπάρατον ταύτην ὁμολογίαν, ἥ δ' ἐστιν ἀπάτη σαφής, διὸ καὶ οὐδεὶς τῶν ἁγίων ποτὲ τοιαύτην ἐφεῦρεν ἀπολογίαν.

Ὁ Λευκωσίας: Ἀλλ' ἐγὼ ἑπτακόσια ὁλοκότινα ξένια δοὺς οὐχ ὡμολόγησα
145 ὡς οἱ ἄλλοι ἐν τῷ χειροτονεῖσθαί με.

Ὁ Ἰωσήφ: Καὶ τί τοῦτο; Ἀλλ' οἱ συλλειτουργοί σου καὶ συνεπίσκοποι συνωμολόγησαν καὶ αὐτὸς αὐτοῖς συνυπόκεισαι.

Ὁ Ἀμμοχώστου: Ναί, ἀληθῶς, πλὴν οὐκ ὀρθόδοξον αὐτὸν λέγομεν, ἀλλὰ μηδέποτε ἀντιστῆναι τῇ τῆς Ῥώμης ἐκκλησίᾳ προφανῶς διαβεβαιούμεθα καὶ
150 ὑποτάσσεσθαι ταύτῃ καὶ γινομένης συνόδου τῶν δυσικῶν, χρεωστεῖν ἀπαντῆσαι καὶ συμπράττειν αὐτῇ τὰ δυνατὰ καθ' ὧν ἂν καὶ γένηται καὶ τὰ πιστὰ τηρεῖν πρὸς τὸν πάπαν ὁμολογοῦμεν, ὅμως πάντα κατὰ τὸ φαινόμενον μόνον, ἡμεῖς δ' αὐτοὶ ἐν ταῖς ψυχαῖς ἡμῶν καὶ ταῖς ἐκκλησίαις ὡς θέλομεν, οὕτω καὶ πιστεύομεν καὶ διάγομεν.

155 *Ὁ Ἰωσήφ*: Ἔτι τοῦτο χείριστον τοῦ προτέρου, ὅτι ὑποτακτικοὶ καὶ δοῦλοι αἰώνιοι ἐγγράφως ὁμολογοῦντες καὶ διὰ στόματος διαρρήδην, κατὰ τὸ λανθάνον τοὺς πάντας θαρρεῖτε πιστεύειν ὀρθῶς καὶ σωτηρίαν ἐντεῦθεν ἐκδέχεσθε. Ὁ νεύματι μόνον τὸν Θεὸν ἀρνησάμενος ἀπωλείᾳ ὑπόκειται καὶ ὁ λόγοις καὶ ἤθεσι καὶ τρόποις καὶ γράμμασι κινδυνεύων περὶ τὴν πίστιν πόθεν σχῇ παρρησίαν;

160 *Ὁ ἡγούμενος*: Πῶς καὶ διὰ γραμμάτων, ὡς λέγεις, ὁμολογοῦμεν;

Ὁ Ἰωσήφ: Οὐχὶ τὴν ὑποτύπωσιν τῆς χειροτονίας ἡμῶν ὁ προρρηθεὶς Γερμανὸς ἔγγραφον ἤνεγκεν ἡμῖν ἐκ τῆς Ῥώμης, ἐν ᾗ πάντες οἱ καδδηνάλιοι ὑπέγρα-

---

129-130 τἄληθῆ K 131 οἱ ὅλοι K 132-135 ὅτι - ἀληθῆ: in marg. αἰτίαι habet K 132 διαδοχὰς K: διαδοχὴν Pap.-Ker. 133 post Πέτρου om. μόνον Pap.-Ker. 140 post Ἀρμενίων om. καὶ μόνην Pap.-Ker. 142 ἡ δέ ἐστιν K 144 Ὁ Λευκωσίας K: Ὁ Μυσίας Pap.-Ker. 145 χειροτονεῖσθαι με K 150 γινομένης K: γενομένης Pap.-Ker. 155-162 ἔτι - Ῥώμης in marg. πάλιν κρίσ<ις> habet K 157 post σωτηρίαν om. ἐντεῦθεν Pap.-Ker. 159 παρρησίαν: hic finit editio Pap.-Ker. 161 προρηθεὶς K

φαν καὶ διὰ βούλλας αὐτὴν ὁ τότε πάπας ἐσφράγισεν, ἣν κατέχων || (f. **268**) εἰς χεῖρας ὁ φραγγεπίσκοπος, ἡνίκα χειροτονεῖσθε, ὡς ἐκεῖ τέτακται, πάντα τὸν εἰς ἐπισκοπὴν ἀναγόμενον ἐρωτᾷ, ὁ δὲ ἑτοίμως συγκατατίθεται;

Ὁ ἡγούμενος: Ναί, ἀλλ' οὐκ ἐμπτύει αὐτῷ, οὐδὲ ἐμφυσᾷ τρίς, ὡς ἤδη τινὲς κατηγοροῦσιν ἡμῶν.

Ὁ Ἰωσήφ: Τὸ τί κατηγοροῦσιν ὑμῶν ἕτεροι ἐν ἄλλοις οὐκ οἶδα, ὅτι δ' ἐπ' ἐκκλησίας καὶ παρρησίᾳ καὶ κατὰ χρέος σχήματι καὶ γλώττῃ καὶ πράγματι ἅγιον ὁμολογεῖτε τὸν Ῥώμης ῥητῶς ἐν τοῖς γράμμασι καὶ τὸν ἴδιον φραγγεπίσκοπον ἕκαστος κύριον ἑαυτοῦ καὶ οἰκεῖον μητροπολίτην ἀνακηρύττει καὶ πάντας τοὺς ἐκείνου ὥσπερ ἀδελφοὺς στέργειν γνησίους, κἂν λεγᾶτος ἔλθῃ, προϋπαντῆσαι τούτῳ κατ' ὀφειλὴν καὶ καθ' ὧν ἂν χωρήσῃ —δῆλον δ' ὅτι χωρήσει κατὰ Ῥωμαίων— συμπράττειν αὐτῷ, ἄχρις ἂν ἐντεῦθεν ἀπέλθῃ, καὶ τοῦ ἁγίου εὐαγγελίου προκειμένου ἀνεῳγμένου τὴν δεξιὰν χεῖρα ἐπάνω τῶν ἐκείνου γραμμάτων τολμηρῶς τιθέντες ὀμνύετε πάντα στέργειν ὅσα ἡ τῆς παλαιᾶς Ῥώμης ἐκκλησία τηρεῖ ἀπαράτρεπτα, ἁπλήθυντα καὶ ἀμείωτα καὶ πάλιν βιβλίου τεθέντος ἐπάνω τῆς ἑκάστου ὑμῶν κορυφῆς ἱερολογίαν καὶ εὐχὴν πάντων ἀκουόντων καὶ ἐπισφράγισμα εὐλογίας εἰς τὰ μέτωπα, πάντων ὡσαύτως ὁρώντων, ἐκεῖθεν λαμβάνετε καὶ τούτῳ τῷ τρόπῳ τῆς ἐπισκοπῆς κληροῦσθε, τοῦτο σαφῶς ἐπίσταμαι καὶ ὑμεῖς δέ, προδήλου τοῦ πράγματος καθεστῶτος, οὐκ ἂν ἀρνηθείητε.

Ὁ ἡγούμενος: Καὶ ἔστι τόπος πούποτε εἰς ἅπασαν τὴν ὑπ' οὐρανὸν ὅπου μὴ συγκοινωνοῦσι κατά τι οἱ ὀρθόδοξοι τοῖς αἱρετικοῖς; Τί ἔπαθον οἱ Κύπριοι, ὅπου μόνοι πταίουσιν ἐν τῷ κόσμῳ;

Ὁ Ἰωσήφ: Ἄκουσον μακροθύμως, εἰ βούλει. Σὺ νῦν ἀσθενεῖς ἀληθείᾳ νόσον μακρὰν καὶ δεινὴν καὶ κινδυνεύεις ἤδη ἀποθνῄσκειν κακῶς. Ἐκάλεσας γοῦν ὑπὲρ σαυτοῦ καὶ τῆς σῆς ἐπανακλήσεως καὶ ὑγείας μακρόθεν ἰατρὸν ἐμὲ καὶ ἰδοὺ ἐλεήσας σε ἦλθον καὶ τό γε εἰς ἐμὲ ἧκον ἐπισκέπτομαί σε καὶ δείκνυμί σοι τὴν νόσον ὁποία καὶ ὧν αὕτη δεῖται ὑπομιμνήσκω σε φαρμάκων καὶ σὺ ἀφεὶς τὸ εὐχαριστεῖν μοι, κράζεις καὶ ἐγκαλεῖς μοι ὅτι τοὺς ἀνὰ πᾶσαν τὴν γῆν ἐάσας || (f. **268v**) ἀρρώστους ἐπιμελοῦμαί σου; Πρόσεχε.

Ὁ Ἀμμοχώστου: Καλὰ λέγει, ὅτι ἀληθῶς οὕτω ποιοῦμεν, πλὴν τυραννούμενοι.

Ὁ Ἰωσήφ: Τέως, εἴτε ἑκόντες εἴτε ἄκοντες, οὕτω ποιεῖτε πάντες, ὥσπερ ἀπέδειξα.

Ὁ Λευκωσίας: Καὶ ἐὰν μὴ τοῦτο ποιήσωμεν, πάντας ἐξορίζουσιν ἐντεῦθεν τοὺς ἐπισκόπους ἢ ῥευματίζουσι καὶ οὐκέτι γενέσθαι ἐπίσκοπον ἐνταῦθα ἀφήσουσι καὶ γενήσεται καὶ αὕτη ἡ νῆσος ὥσπερ ἡ Κρήτη, ἐπισκόπων Ῥωμαίων παντά-

---

172 λεγάτος K 173 χωρήση K 174 ἀπέλθοι K 175-180 τὴν δεξιὰν - κληροῦσθε in marg. ἄρσις habet K 182-184 in marg. ἀνάλυσις habet K 185-189 in marg. νουθέτ<ημα> habet K 191 ἐπιμελοῦμαι σου K

πασιν ἔρημος.

Ὁ οἰκονόμος: Ἂν ἔνε θέλημάν του καὶ νάνε καλόν, ἂς τὸ ποίσωμεν.

Ὁ Ἰωσήφ: Οὔπω λέγω ποιῆσαι τοῦτο ἢ μή, διότι οὐδέ, ἐὰν εἴπω τοιοῦτόν τι, ποιεῖν μέλλετε, ἐκεῖνο δὲ μαθεῖν ἀγαπῶ, πῶς αὐτόνομος ὄντες ἐκκλησία καὶ τὴν ἐλευθερίαν πρός τινων τυραννίδι ἀφαιρεθέντες ἢ θελήσει οἰκεία καταλιπόντες, δῆθεν πάλιν ὑπισχνεῖσθε ταύτην, ἣν πάλαι προὐδώκατε, παρέχειν τῷ οἰκουμενικῷ καὶ τηρεῖν ἀπαράτρεπτον, τὴν οὐκ ἐφ' ἡμῖν, ἢ πῶς δύνασθε «δυσὶ κυρίοις δουλεύειν» καὶ ὑμῶν αὐτῶν εἶναι, τὸ αὐτόνομον ἤδη προδεδωκότες.

Ὁ Λευκωσίας: Οὐχ ἡμεῖς τοῦτο, ἀλλὰ πρὸ πολλῶν ἐτῶν ἄλλοι συνεκατέβησαν οἰκονομικῶς, ἵνα μὴ γένηταί τι ἴσως τούτου βαρύτερον. Ἡμεῖς δὲ νῦν ζητοῦμεν ἑνωθῆναι τῇ ἐκκλησίᾳ.

Ὁ Ἰωσήφ: Ὃν ἐκεῖνοι κύριον ἑαυτῶν ἐπεγράψαντο, ὑμεῖς, ἅτε δεσπότην ὑμῶν ἐκ διαδοχῆς ἐκείνων ὑπάρξαντα, στέργετε καὶ ὁ μὲν Γερμανὸς καὶ οἱ προσεχῶς μετ' ἐκεῖνον οἰκονομικῶς ἴσως, ὡς λέγετε, αὐτοὶ δὲ ὑμεῖς δι' οἰκείαν ὄρεξιν μόνον. Ζητεῖτε δὲ καὶ ἑνωθῆναι τῇ ἐκκλησίᾳ, ἀλλὰ τῆς ὑποταγῆς καὶ τῶν συνθηκῶν ὧν ἐποιήσασθε καὶ ποιεῖτε πρὸς τοὺς Λατίνους μενόντων ἀπαρατρέπτων, τοῦτο δ' οὐκ ἔστι τὴν τῶν Κυπρίων ἐκκλησίαν τῇ τῆς Πόλεως συναφθῆναι, ἀλλὰ τὸν οἰκουμενικὸν καὶ τοὺς ὑπ' αὐτὸν τῷ Ῥώμης λεληθότως ὑποταγῆναι. Καὶ πᾶσα δὲ αἵρεσις, ἀμετακινήτων αὐτῇ τῶν συνήθων φυλλαττομένων, παρακαλεῖ καὶ διψᾷ ἑνωθῆναι τοῖς ὀρθοδόξοις καὶ ὁ πάπας δὲ οὐδὲν ἄλλο ζητεῖ παρ' ἡμῶν || (**f. 269**) ἢ τὸ καλεῖν αὐτὸν ἅγιον καὶ συλλειτουργεῖν τοῖς ἐκείνῳ ὑπείκουσιν.

Ὁ Λευκωσίας: Ἔστω ταῦτα. Τί καὶ ἄλλο ἔχετε ἡμῖν ἐγκαλεῖν;

Ὁ Ἰωσήφ: Πολλά, πλὴν ἓν καὶ τοῦτο ἐκ τῶν πολλῶν, ὅτι εἰς ἐπισήμους ἑορτὰς χρεωστικῶς συναγόμενοι καὶ ὑμεῖς, οἱ Ῥωμαίων ἐπίσκοποι καὶ οἱ μεθ' ἡμῶν ἅπαντες ἱερεῖς, ἐν τῇ μητροπόλει τῶν Φράγγων συμφορένετε τούτοις καὶ ἐπὶ μὲν ἄμβωνος τὸν ἀπόστολον ὁ πρῶτος τῶν ἱερέων, ἐπὶ δὲ τῆς τραπέζης τοῦ βήματος ὁ ἐπίσκοπος τὸ τῆς ἡμέρας εὐαγγέλιον ἀναγινώσκει μεγαλοφώνως, πρότερον ἀμφότεροι εὐλογηθέντες πρὸς τοῦ Λατίνου καὶ μετὰ τὴν ἀνάγνωσιν καὶ σφραγισθέντες παρ' αὐτοῦ εἰς τὰ μέτωπα καὶ τὴν δεξιὰν αὐτοῦ ἀσπασάμενοι. Ἡμῖν δ' ἐκεῖθεν κατὰ τούτου ἔγγραφος δέδοται ἐπιτροπὴ οὕτως ἔχουσα κατὰ λέξιν. «Ἐὰν συμφορένωσι τοῖς τῶν Λατίνων ἐπισκόποις, ἐπειδὴ τὸ συμφορένειν συγκοινωνεῖν ἐστι τούτοις, ὁ δὲ ἀκοινωνήτῳ κοινωνῶν καὶ αὐτὸς ἀκοινώνητός ἐστιν, οὐκ ὀφείλετε τούτοις συγκοινωνῆσαι».

Ὁ Λευκωσίας: Ναί, οὕτω ποιοῦμεν, ὡς εἶπας, ἀλλὰ καταργίζομεν πάλιν αὐτοὺς ἰδίᾳ καὶ τὴν πίστιν αὐτῶν οὐ φρονοῦμεν, ὥσπερ αὐτοί.

---

205 Mat. 6.24; Luc. 16.13

---

200 νάνε K

Ὁ Ἰωσήφ: Ὧδέ μοι ταῦτα λέγεις λόγοις ψιλοῖς ὡς ἐν παραβύστῳ καὶ γωνίᾳ καὶ κεκρυμμένως, πεῖσαί με μόνον σπουδάζων συλλειτουργῆσαί σοι, ἵνα διὰ τῆς ἐπιπλάστου ταύτης ἑνώσεως ἔχῃς τοὺς ἅπαντας πείθειν, ὡς δῆθεν τοῖς ὀρθοδόξοις συλλειτουργῶν, καὶ τοὺς τῆς πρὸς Λατίνους κοινωνίας ἐλέγχους ἀποδιδράσκῃς, ἐπεὶ ἐὰν αὔριον πρὸς τοῦ φραγγεπισκόπου κληθῇς ἐκείνῳ συνεορτάσων μετά γε πάντων τῶν σῶν, πῶς παραιτήσῃ τὴν κλῆσιν, εἰπέ μοι;

Ὁ Λευκωσίας: Δύναμαι προφασίσασθαι νόσον ἢ ἄλλο τι τῶν ἀναγκαίων.

Ὁ Ἰωσήφ: Καὶ ἕως πότε σκῆψις ταῦτα καὶ πρόφασις, εἰ μή που τὸ ἅπαξ, ὅτι ἀπαραιτήτως ὀφείλεις τοῦτο ποιεῖν καὶ ἐγγράφως ὑπόκεισαι; Εἶτα σὺ μὲν ὑπὲρ σαυτοῦ παραιτήσῃ τυχόν, οἱ δὲ σοί, τοσοῦτοι ὄντες, πῶς παραιτήσονται;

Ὁ <Λευκωσίας>: Ἀληθῶς, οὐ δυνάμεθα. Πλὴν τί τοῦτο κωλύει; Οὐχὶ καὶ εἰς τὴν Κρήτην οἱ Λατῖνοι εἰς τὰς τῶν Ῥωμαίων ἐκκλησίας εἰσερχόμενοι λειτουργοῦσιν;

Ὁ Ἰωσήφ: Οὔπω λέγω, ὅτι ἄλλο τὸ || (**f. 269v**) εἰς τὰς τῶν Ῥωμαίων ἐκκλησίας παρὰ μέρος που τοὺς Λατίνους λειτουργεῖν καὶ ἄλλο τὸ τοὺς Ῥωμαίους ἐπισκόπους συμφορένειν Λατίνοις καὶ κατὰ χρέος αὐτοῖς συνιερουργεῖν. Τέως δὲ πρὸς ὃ λέγεις, ἐκεῖνο ἐκ τῶν εἰκότων ἀνταποκρίνομαι. Οὐδεὶς περί τινος πταίσματος ἐταζόμενος δικαιοῦται ποσῶς ἐν τῷ λέγειν «οὐχὶ καὶ ὁ δεῖνα τοῦτο πράττει ἢ πάσχει τὸ πταῖσμα;», ἀλλὰ μᾶλλον διὰ τοῦτο ἐπὶ πλέον ἀνάπτει τοῦ κριτοῦ τὸν θυμόν.

Πάντες: Καὶ ὡς φρόνιμος ἡ ἀγιωσύνη σου λοιπόν, τίνα βουλὴν δίδως εἰς τοῦτο; Πῶς θέλομεν φυγεῖν τὸ οὕτω χειροτονεῖσθαι καὶ τὸ συμφορένειν αὐτοῖς;

Ὁ Ἰωσήφ: Ἡ θεία μόνη βουλὴ ἔνι πρὸς ταῦτα δυνατή. Πλὴν ἀνθρώπινόν τι ἐρῶ. Εἷς ἕκαστος ὑμῶν τῶν τεσσάρων ἐπισκόπων τῆς Κύπρου πλείω τῶν τριῶν ἐπισκοπῶν εἰσόδους καρποῦται. Τεσσαρεσκαίδεκα γὰρ ἦσαν αἱ πᾶσαι, αἳ πρὸς τοὺς τέσσαρας ὑμᾶς περιέστησαν μόνους. Τῆς μιᾶς οὖν αὐτῶν ἕκαστος τὴν ἐπικαρπίαν εἰ θελήσῃ χαρίσασθαι τῷ ῥηγὶ τῆς ἀπαλλαγῆς ταύτης χάριν, καὶ τὴν αὐτοῦ αὐτίκα ροπὴν ἐπισπάσηται, καὶ ἐλεύθερος τοῦ λοιποῦ διαβιώῃ ἐκ τῶν τοῦ φραγγεπισκόπου τοιούτων δικαιωμάτων καὶ τῇ ἑαυτοῦ ἐνορίᾳ ὀρθοδοξίας ἔσται παραίτιος.

Τινές: Πῶς ἔσται τοῦτο δυνατόν;

Ὁ Ἰωσήφ: Ἰδοὺ λέγω τὸ πῶς, ὅτι ὁ μέγας ῥῆξ οὗτος, παρακληθεὶς παρ' ὑμῶν κατ' ἔτος καρποῦσθαι τὴν τῶν εἰρημένων ἐκκλησιῶν πρόσοδον καὶ αὐτονόμους ὑμᾶς ἀφεῖναι, ὡς ἄρα καὶ πρὸ τοῦ ληφθῆναι τὴν νῆσον πρὸς τῶν φραγγέσκων ὑπήρχετε, εὐθὺς μηνύσει τῷ πάπᾳ ὡς οἶδε φρονίμως, κἀκεῖνος γράψει τοῖς ὑπ' αὐτὸν ἐπισκόποις ἐν Κύπρῳ καὶ οὐκέτι ὑμᾶς ἐνοχλήσουσι, ἢ τό γε εὐκολώτερον, αὐτὸς δι' ἑαυτοῦ ὁ ἄρχων μετὰ μικροῦ δελεάματος ἢ ἐμβριμήματος παρα-

---

235 ὧδε μοι K 236 πεῖσαι με K || συλλειτουργῆσαι σοι K 241 ἄλλότι K 242 εἰ μή που τοάπαξ K 252 ἑταζόμενος K 253 ἐπιπλέον K 256 φύγειν K 259 πάσαι K

πείσει τοὺς ἐπισκόπους ὡς ἐγχωρίους καὶ ὑμᾶς τοῦ λοιποῦ πάσης τοιαύτης ἐνοχῆς ἐλευθέρους ἀφήσουσι καὶ εἰ θέλετε, ἐγὼ τὸ περὶ τούτου μεσιτεύω καὶ εἰς τὸν ῥῆγα καὶ εἰς τὴν κούρτην, εἰ δέοι, περὶ ὑμῶν καὶ ἐντὸς ἑνὸς χρόνου μετὰ χιλίων χρυσίνων ἔξοδον, σὺν Θεῷ δὲ εἰρήσθω, ἐλεύθεροι ἔσεσθε.

Ὁ οἰκονόμος: Μὴ γένοιτο. Ἐὰν μείνῃς ὧδε ἕνα χρόνον, πάντες ἡμεῖς ἀποθνήσκομεν.

Ὁ Ἰωσήφ: || **(f. 270)** Καὶ λοιπὸν καὶ χωρὶς ἐμοῦ ὑμεῖς οὕτω πράξατε. Πάνυ γὰρ πρὸς τοῦτο συμφέρουσα αὕτη ἐστὶν ἡ βουλὴ καὶ πιστεύσατε ὅτι σκεψάμενος καὶ προμελετήσας αὐτήν, οὕτως ἀπεκρινάμην.

Ὁ Λευκωσίας: Πολλὰ καλὰ εἶπεν ἡ ἀντίληψίς σου, κῦρι, πλὴν οὐ δυνάμεθα.

Ὁ Ἰωσήφ: Οὐ βουλόμεθα λέγε, ἐπεὶ ὁ λόγος ἔδειξεν ὑμᾶς εὐκόλως τοῦτο δυναμένους, εἰ βούλεσθε, ἀλλὰ τὸ φιλόϋλον οὐκ ἐᾷ καὶ πόσαι τοιαῦται πρόσοδοι μιᾶς ψυχῆς οὐκ εἰσὶν ἄξιαι.

Ὁ Ἀμμοχώστου: Ἄς ἔνι, τί ἄλλο λέγετε;

Ὁ Ἰωσήφ: Ὅτι οὐδεὶς τῶν ἱερᾶσθαι λαχόντων ἐστὶ παρ' ὑμῖν, ὃς μὴ καὶ παλλακὰς ἔχῃ ἀναφανδόν, καὶ ζώσης αὐτῷ τῆς νομίμου καὶ θανούσης μᾶλλον καὶ πρὸ τοῦ συναφθῆναι αὐτῇ. Καὶ οἱ ἐπίσκοποι δὲ πάντες καὶ οἱ μοναχοὶ ἁπαξάπαντες πρὸς γυναικῶν συνεισάκτων ὑπηρετούμενοι καὶ παῖδας μετ' αὐτῶν προφανῶς ἔχοντες, ἀκωλύτως ἱερουργεῖτε καὶ τοῖς ἀνέδην τὰ ἄθεσμα πράττουσι πάντα συλλειτουργεῖτε καὶ νόμον ἔχετε τὴν συνήθειαν καὶ σιγῶ τἄλλα.

Ὁ Λευκωσίας: Ἐγὼ πρὸς ταῦτα τὸν οἰκονόμον τοῦτον κατέστησα στοχαστὴν καὶ ὃν ἂν εἴπῃ μοι ἄξιον, ἐκεῖνον προσδέχομαι.

Ὁ Ἰωσήφ: Μᾶλλον εἰπὲ τίνα σοι εἶπεν ἀνάξιον.

Ὁ δικαίῳ: Ἄφες με αὐτὸν ἐρωτῆσαι, διὰ τοὺς ἁμαρτωλοὺς ἐγένετο ὁ Θεὸς ἄνθρωπος ἢ διὰ τοὺς δικαίους;

Ὁ Ἰωσήφ: Ὑπὲρ τῶν ποτὲ ἁμαρτωλῶν, νῦν δὲ ἀληθείᾳ μετανοούντων. Ἐνταῦθα δὲ οὐ περὶ ἁπλῶς ἁμαρτωλῶν ὁ λόγος ἔστιν ἡμῖν, ἀλλὰ περὶ βίου ἐξετάσεως τῶν εἰς ἱερωσύνην ἀναγομένων.

Ὁ Λευκωσίας: Θέλω νὰ εἰπῶ, δεσπόται, καὶ συγχωρεῖτέ μοι, ἐρωτῶ τοὺς πατέρας μου ἐδῶ. Ἡμεῖς οἱ ἐπίσκοποι πταίομεν εἰς ὅλα τὰ κεφάλαια ὅπου μᾶς ἐγκαλοῦν καὶ ἀποσχίζονταί μας. Ὁ λαὸς ὁ κοινὸς πρὸς ταῦτα τί πταίει νὰ τὸν ἀποσχίζεσθε;

Ὁ Ἰωσήφ: Ἄκουσον. Ἐπεὶ σὺ τόνδε βαπτίζεις, σὺ αὐτὸν χρίεις μύρῳ, πρὸς σὲ ποιεῖται τὴν ἐξαγόρευσιν, σὺ αὐτῷ τοῦ δεσποτικοῦ σώματός τε καὶ αἵματος μεταδίδως, σὺ χειροτονεῖς τὸν ἱερᾶσθαι κρινόμενον ἄξιον καὶ ἑνὶ λόγῳ πάντα τὰ τῆς ἐκκλησίας μυστήρια παρὰ σοῦ ὁ σὸς λαὸς δέχεται, λοιπὸν εἰς ὁποῖον ἂν ἐνέχῃ || **(f. 270v)** ἔγκλημα, καὶ ὁ ἑπόμενός σοι εἰς πάντα λαὸς καὶ αὐτὸς ἐνέχε-

---

271-272 παραπείση K 276 ὧδε K 287 παλακὰς K 289 παῖδας K 291 τ' ἄλλα K 300 συγχωρεῖτε μοι K 301 ἐδώ K

ται πάντως, ὅτι ὅπερ ἐστὶ τρόπη ἐν πλοίῳ καὶ θεμέλιος ἐν οἴκῳ καὶ καρδία ἐν ζώῳ καὶ ἅλας εἰς ὄψον καὶ λύχνος ἐν σκότει καὶ ὀφθαλμὸς ἐν προσώπῳ καὶ φῶς ἐν κόσμῳ τοῦτό ἐστιν ἐπίσκοπος ἐν ἐκκλησίᾳ καὶ ἡ ἀρετὴ αὐτοῦ καὶ ἡ κακία καὶ μᾶλλον ἡ πίστις οὐκ εἰς αὐτὸν μόνον μένει ἀλλ' εἰς πάντας τοὺς ὑπ' αὐτὸν σαφῶς διαδίδοται.

Ὁ δευτερεύων: Ἐλέησον ὁ Θεός, ἕνα ἁμαρτωλὸν ἐρχόμενον πρὸς αὐτὸν ὁ Χριστὸς οὐκ ἀποστρέφεται, ἀλλ' ὡς λέγει ἡ ἁγία γραφή, «τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω», καὶ ἀποδέχεται ὡς φιλάνθρωπος καὶ οὐδὲν αὐτὸν ὀνειδίζει, οὐδὲ κολάζει, ἀλλὰ συγχωρεῖ αὐτῷ καὶ εἰσάγει εἰς τὴν ἑαυτοῦ βασιλείαν αὐτὸν καὶ ὑμεῖς τοσαύτας χιλιάδας χριστιανῶν τῇ ἐκκλησίᾳ προσερχομένους εἰς ἕνωσιν ἀποστρέφεσθε; Ἐὰν «ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι ἐν οὐρανῷ χαρὰ γίνεται», ὡς λέγει τὸ εὐαγγέλιον, πόση χαρὰ καὶ εἰς τὸν οὐρανὸν καὶ εἰς τὴν γῆν μέλλει γενέσθαι τὴν σήμερον, εἰ μόνον ἀλλήλοις συλλειτουργήσωμεν;

Ὁ Ἰωσήφ: Πρὸς ταῦτα ἑτοίμως καὶ μάλα δικαίως ἀποκρινοῦμαί σοι. Τὸν μισοῦντα τὴν ἑαυτοῦ ἁμαρτίαν καὶ πρὸς ἀρετὴν ἐπιστρέφοντα ὁ Θεὸς ἀποδέχεται καὶ περὶ τούτου τῆς ἐπιστροφῆς οἱ ἄγγελοι χαίρουσιν. Ὅτι δὲ δίκαια καὶ φρονῶ περὶ τούτων καὶ ἀποφαίνομαι, ὑμᾶς αὐτοὺς τοὺς ἐπισκόπους κριτὰς τῶν λόγων μου καθιστῶ. Πάντα τὸν ὁτιοῦν ἁμαρτόντα θανάσιμον κρίμα καὶ κοινωνῆσαι βουλόμενον, ἐξομολογούμενον εἰς ὑμᾶς τὴν ἁμαρτίαν ἐκείνην, τολμᾶτε ἢ δύνασθε αὐτῷ μεταδοῦναι τῶν φρικτῶν μυστηρίων, ἂν μὴ τῆς ἀθέσμου ἐκείνης πράξεως ἐνεργείᾳ πρότερον ἀποστῇ;

Ὁ Ἀμμοχώστου: Οὐδαμῶς.

Ὁ Ἰωσήφ: Εἶτα ὑμεῖς μὲν τὸν ἐνὸς ἔνοχον ἁμαρτήματος, μὴ ἀφιστάμενον τούτου, ἑνῶσαι τῷ Χριστῷ οὐκ ἰσχύετε, ἂν δὲ τολμήσητε τοῦτο, τῇ αὐτῇ ἐκείνῳ κολάσει ὑπόκεισθε, ἐμοὶ δὲ συμβουλεύετε μυρίους τοιούτους ἑνῶσαι πᾶσιν ἁγίοις καὶ τῷ Θεῷ;

Ὁ ἔξαρχος: Ἀλλ' ἡμεῖς καὶ διὰ ῥημάτων καὶ διὰ γραμμάτων μετανοοῦμεν, ἰδού.

Ὁ Ἰωσήφ: Ναί, || (**f. 271**) μέλανι μόνῳ καὶ λόγῳ φιλῷ, ἡ δὲ ἐκκλησία τὸν τοῦ κακοῦ ἀφιστάμενον μετανοοῦντα προσδέχεται, ὡς εἴ γε συγχωρήσομεν τοῖς εἰς τὰ πάθη κειμένοις, πρὸ τοῦ ἐκεῖθεν ἀναστῆναι, συγκοινωνεῖν ἡμῖν, ὥρα καὶ πάντα ἀνίερον καὶ λῃστὴν καὶ φονέα, τῶν κακῶν μηδόλως ἐσχολακότα, προσδέχεσθαι. Ἔπειτα οὐ μόνον περὶ παθῶν ἁπλῶς ἐστιν ἡμῖν ἡ διαφορά, ἀλλὰ καὶ περὶ δογμάτων καὶ πίστεως καὶ ἀποχῆς τῶν ἐξεναντίας.

Ὁ οἰκονόμος: Θέλετε ἵνα εἴπω τὴν ἀλήθειαν; Τί κάμνει χρείαν, ἵνα σκεπα-

---

315-316 Jno. 6.38 319-320 Luc. 15.7.10.

---

311 τοῦτο ἐστὶν K 322 ἀποκρινοῦμαι σοι K 326 ἁμαρτωντα K 338 συγχωρήσωμεν K 341 ἁπλῶς ἔστιν K

ζώμεθα; Ἠξεύρετε ὅτι οὐδένα τῶν πεσόντων εἰς πάθος ἀργῆσαι δυνάμεθα, ἀλλ' οὐδὲ μὴ συλλειτουργεῖν αὐτῷ. Ὁ τόπος ἔνι φράγγικος καὶ ὡσὰν τὸν εἴπῃ τίποτε ὁ ἐπίσκοπος τὸν παπᾶν, ὑπάγει εἰς τὸν φραγγεπίσκοπον ἢ εἰς ἕνα ἄρχοντα φίλον του καὶ μηνᾶ εἰς ἐκεῖνον μὲ ἕναν του δουλευτὴν καὶ λέγει, «παρακαλῶ σε, χάρισέ μου τὸν {ὁ} δεῖνα παπᾶν», καὶ ἂν τοῦ εἰπῇ, «ἀφέντη, δὲν ἔνε ἄξιος νὰ λειτουργᾷ», ἀποκρίνεταί του, «καὶ δεῖξε μου τίς ἓν ἄξιος; ἄφες τον καὶ ὁ Θεὸς νὰ τὸν κρίνῃ κατὰ τὸ ἔργον του», καὶ θέλει καὶ ἂν οὐ θέλῃ, χαρίζει τοῦτον, εἰδεμή, ἀποθνήσκει, ὡσὰν καὶ προτοῦ νὰ γένῃ ὁ δεσπότης μου, ὁ Λευκωσίας τοῦτος, ἦτον ἄλλος ἐκεῖ εἰς τὴν χώραν καὶ ἐγύρευεν τέτοια καὶ εὐγῆκεν ἀπὸ τὴν μέσην ἐγρηγορώτερα.

Ὁ Ἰωσήφ: Ἰδοὺ ἀριδήλως τἀληθὲς περὶ τούτου παρέστησας. Ἀλλ' ἡμῖν οὕτω πρὸς τῆς μητρὸς ἐκκλησίας ἐντέταλται, ἐὰν τὸν πρὸς ἱερωσύνην ἀναγόμενον οὐκ ἐξετάζωσι περὶ τοῦ βίου αὐτοῦ εἰ καθαρός ἐστιν ἢ μιᾶς γυναικὸς ἀνὴρ καὶ μήτε ἐπὶ κλοπῇ ἢ ἐπιορκίᾳ ἑάλω, καθὼς ὁ ἀποστολικὸς κανὼν διακελεύεται, ἀλλ' ἀδιάφορον ἡγοῦνται καὶ ἀξιοῦσι χειροτονεῖσθαι αὐτὸν ἐπὶ τοιαύταις αἰτίαις, προσέχετε αὐτοῖς μὴ συγκοινωνῆσαι. Πλὴν γινώσκεις τὸν αἴτιον τῆς τοσαύτης ὑμῶν πρὸς τὸ πρᾶγμα τοῦτο συγκαταβάσεως ἢ λανθάνει σε;

Ὁ οἰκονόμος: Οὐκ οἶδα.

Ὁ Ἰωσήφ: Ἀλλ' ἐγώ σοι ἐρῶ. Ἐπεὶ πάντες τοῖς αὐτοῖς ὑπόκεισθε πλημμελήμασι προφανῶς, διὰ τοῦτο οὔτε εἰς πρόσωπον ἄρχοντος τολμᾶτε || **(f. 271v)** παρρησιάσασθαι οὔτε τινὰ ἐλέγξαι ἢ ἐπιτιμῆσαι τῶν ἁμαρτωλῶν, ἀλλὰ καὶ τοὺς ἐλέγχοντας ὑμᾶς ἐπὶ διορθώσει διὰ δηλητηρίων φαρμάκων τοῦ βίου ἐξάγετε καὶ τοῦτο ἡμῖν πάντα προξενεῖ τὰ κακά, ὡς ἐὰν εἴχετε ἐπιμέλειαν τῶν καλῶν, δι' οὐδὲν τῶν ὅσα ἐν κόσμῳ τοῖς ἀναξίοις ἂν συνιερουργεῖν κατεδέξασθε.

Ὁ οἰκονόμος: Καὶ τίς ἄξιος;

Ὁ Ἰωσήφ: Πάντες οἱ θέλοντες πλὴν ὑμεῖς. Μίαν αὐτονομίαν εἶναι ἐν Κύπρῳ, οὐχὶ τέσσαρας ἐνομίζομεν, ἐνταῦθα δὲ ὅσοι ἐπίσκοποι, ὡς ὁρῶ, τοσαῦταί εἰσι καὶ αὐτονομίαι, μᾶλλον δὲ ὁ μὲν Λεμισοῦ Ῥωμαίων ἐπίσκοπος τῷ τῆς Λεμισοῦ φραγγεπισκόπῳ ὑποτέτακται μόνῳ, ὁ δὲ τῆς Πάφου τῷ Πάφου, ὁ τῆς Λευκωσίας τῷ Λευκωσίας, ὁ καὶ τῆς Ἀμμοχώστου τῷ Ἀμμοχώστου, ἑτέρῳ δὲ Ῥωμαίων οὐδεὶς οὐδενί. Ἀλλ' οὐδὲ καθ' αὑτὸν ὑμῶν ἕκαστος αὐτόνομός ἐστιν, ἐπεὶ ἄλλῳ προὔδωκε τὴν ἰδίαν ἐλευθερίαν. Ὅθεν καὶ πρὸς ἀλλήλους ὑμεῖς πάντες καὶ ἀνυπότακτοι ἐστὲ καὶ ἀσύμφωνοι. Καὶ τεκμαίρομαι οὕτως ἐχόντων ὑμῶν, ὅτι καὶ τῷ Λεμισοῦ συλλειτουργήσετε προϊόντος τοῦ χρόνου, καὶ ταῦτα καὶ ὑμῖν αὐτοῖς καὶ ἡμῖν τἀναντία φρονοῦντι, ὡς ἔφητε.

355-357 cf. Constitutiones Apostolicae, II. 2 (PG 1.597)

---

348 ὀδεῖνα παπὰν K 351 ὡσὰν K 352 τέτια K 354 τἄληθὲς K 355 καθαρὸς ἐστὶν K 364 οὔτέ τινα K 369 ἡμεῖς K 370-371 τοσαῦται εἰσὶ K 374 αὐτόνομος ἐστὶν K 375 προύδωκε K 378 τἀναντία K

Ὁ Λευκωσίας: Οὐχί, ὅτι ἔχομεν πρόφασιν τὸ πάθος αὐτοῦ.

Ὁ Ἰωσήφ: Τῶν μικρῶν, ἤτοι τῶν πρεσβυτέρων, οὐδένα παραιτήσασθαι δύνασθε, τῶν μετ' ἐκείνου λέγω, καὶ πῶς τὸν μέγα, ἤγουν τὸν ἐπίσκοπον, δυνήσεσθε ἀποστραφῆναι, ὥστε μὴ παρρησίᾳ συλλειτουργεῖν αὐτῷ καὶ τοῖς ὑπ' αὐτὸν ἅπασιν;

<Ὁ> πρωτοπαπᾶς: Ἀλήθειαν λέγεις καὶ ἄλλως οὐκ ἔστιν.

Ὁ ἐπὶ τῶν κρίσεων: Ἀλλ' ἐὰν συλλειτουργήσωμεν ὑμῖν, ὀφείλετε πάντας τοὺς ἀποστρεφομένους ἡμᾶς ἀποσχίζεσθαι.

Ὁ πρωτοσύγκελλος: Τοῦτο καὶ θέλημα τῆς ἐκκλησίας καὶ γνώμη τοῦ βασιλέως ἐστὶ τοῦ ἁγίου, εἰδεμή, πόθεν ἔχετε γνωρίζεσθαι ὅτι τῆς τῶν ὀρθοδόξων ἐκκλησίας μέρος ἐστέ;

Ὁ Ἰωσήφ: Διατί δὲ εἰς ἐξόδους θανόντων Λατίνων καὶ μνημόσυνα καὶ εἰς πᾶν ἁπλῶς τῶν εἰς ἑορτῆς λόγον παρ' ἐκείνοις δοκούντων μέγα, ὑμεῖς οἱ τῶν Ῥωμαίων || **(f. 272)** ἱερεῖς καὶ ἐπίσκοποι καλεῖσθε ὁμοίως αὐτοῖς καὶ μισθὸν τῆς συνελεύσεως καὶ δεήσεως ὑμῶν ἐπίσης ἐκείνοις λαμβάνετε, ὡς μηδὲν αὐτοῖς διαφέροντες;

Ὁ Λευκωσίας: Καὶ θέλεις, ἀποθανόντος τοῦ ῥηγὸς ἢ τοῦ υἱοῦ αὐτοῦ ἢ τἀδελφοῦ, ὅτε πάντες οἱ εὑρισκόμενοι εἰς τὸν τόπον αἱρετικοὶ ὀφείλουσιν συνελθεῖν εἰς τιμὴν τοῦ ἀφέντου, ἐγὼ μόνος μὴ ἀπελθεῖν, ἵνα κινδυνεύσω περὶ τὸ ζῆν;

Ὁ Ἰωσήφ: Οὐ τὸ κατὰ τιμὴν τοῦ αὐθέντου γινόμενον καὶ καθάπαξ, ἀλλὰ τὸ κατ' ὀφειλήν, μᾶλλον δ' ἀκολουθίαν τελούμενον ἐκκλησιαστικὴν καὶ ἀείποτε, τοῦτο κατηγορῶ.

Ὁ ἡγούμενος: Πῶς οἱ ἐν τῇ Ἀρμενίᾳ εὑρισκόμενοι πάντες Χριστιανοί, ἐπίσκοποι ἅμα καὶ ἱερεῖς, τοῦ Ἀρμενίων ῥηγὸς ἐπιτάττοντος, εἰς τὰς ἀκολουθίας ὅλας ἀπαντῶσιν ὁμοίως ἡμῖν καὶ εἰς τὰς τῶν ὀρθοδόξων ἐκκλησίας εἰσέρχονται οἱ Ἀρμένιοι, ἄτε τοῦ τόπου ἐξουσιασταί;

Ὁ Ἰωσήφ: Ἄνθρωπε, ἐπίστησον ὡς ἄλλο ἐπιταγὴ ἄρχοντος κοσμικοῦ καὶ ἄλλο ἀκολουθία καὶ τάξις ἀπαράβατος ἐκκλησιαστική, ἣν καὶ ὡς νόμον καὶ ὑποταγὴν πληροῦν οὐδέποτε παύεσθε. Τοῦτο λέγω, εἴπερ δώσομεν ἀληθὲς εἶναι τὸ οὕτω τυραννεῖσθαι, ὡς ἔφης, τοὺς ἐν τῇ Ἀρμενίᾳ χριστιανούς. Ἴσως γὰρ διαβάλλεις αὐτούς. Ὅταν δὲ καὶ ποιῶσιν, ὡς λέγεις, τί ὑμῖν καὶ τοῖς ὧν πταίουσιν ἐκεῖνοι κοινόν; Οὐ γὰρ ὑπὲρ ἐκείνων ὑμεῖς κρίνεσθε.

Ὁ Λευκωσίας: Μισθὸν τέως περὶ τούτου, οὗ λέγεις, ὁ σταυρὸς μόνον ἐπαίρει, ὁ ἐκεῖ ἀπελθών, ἀλλ' οὐδεὶς ἱερεύς.

Ὁ Ἰωσήφ: Τί λέγεις; Τὰ δὲ τοῦ σταυροῦ ὁλοκότινα οὐχ ὑμεῖς θησαυρίζετε, οἱ ἐπίσκοποι; Τί με φεύγεις; Καὶ ταῦτα λέγω, οὐχ ὅτι μόνον τούτοις ἐνέχεσθε, ἀλλ' ἵνα ἐκ τῶν ὀλίγων τούτων γνωρίσητε ὅτι ἐκ τοῦ κατ' ὀλίγον ὀλίγον σφόδρα

---

399 καθάπαξ (sic) K 414 ὁλοκότινα K

τῷ Ῥώμης κατεδουλώθητε.

Ὁ Ἀμμοχώστου: Εἰ μὲν ἑκουσίως τοῦτα ἐπράττομεν ἢ ἐπάσχομεν, δικαίως ἂν ἐγκαλούμεθα, νῦν δὲ τυραννούμενοι ταῦθ' || **(f. 272v)** ὑπομένομεν.

Ὁ Ἰωσήφ: Ἀλλ' ἡ τοῦ Θεοῦ ἐκκλησία οὔπω τυρρανίδι ὑπέκυψεν, οὐδ' ὑποκύψει ποτέ, οὐδέ γε τοῖς ὑποκύψασιν ὅλως συγκοινωνήσει, μὴ λάθῃ καὶ αὐτὴ τὴν ἐλευθερίαν ζημιωθεῖσα καὶ συγκατασπασθεῖσα τοῖς εἰς λάκκον, ἀνασπᾶσαι αὐτοὺς ἐκεῖθεν προθυμουμένη. Ἀλλ' οὐδὲ πάντα τυραννούμενοι πράττετε. Τοῖς γὰρ ἀνιέροις θέλοντες συνιερουργεῖτε καὶ τὰ μετὰ πάντων τῶν αἱρετικῶν συνοικέσια καὶ τὸ ἀναδόχους τῶν ὑμετέρων παίδων ἐκείνους ποιεῖν καὶ τὸ ἐξ ἀλλοτρίου βαπτίσματος τοὺς παῖδας αὐτῶν ὑμᾶς ἀναδέχεσθαι καὶ τὸ φαλλόντων ἐκείνων εἰς τὰς ἐκκλησίας αὐτῶν ἀκωλύτως εἰσέρχεσθαι καὶ τἆλλα, ἃ σιγᾶν δέον, ἑκουσίως ποιεῖτε, οὐ τυραννούμενοι.

Ὁ ἡγούμενος: Πόθεν γινώσκετε ταῦτα πάντα περὶ ἡμῶν ὑμεῖς; Ἐνταῦθα ἐλθόντες, ἀπὸ τῶν ὧδε ἐμάθετε. Νὰ ἦτον ἐκείνη ἡ γλῶσσα κομμένη, ὅπου σᾶς εἶπεν τούτους τοὺς λόγους.

Ὁ Ἰωσήφ: Μαρτυροῦντός μοι τοῦ Θεοῦ καὶ τῶν ἁγίων ἀγγέλων καὶ τῶν ἀδελφῶν μου τούτων, τοῦ τε πρωτοσυγκέλλου καὶ τοῦ ἐπὶ τῶν κρίσεων, ὅτι οὐδεὶς ἡμῖν ἐν τῇ Κύπρῳ ἀνήγγειλε περὶ τούτων, ἀλλὰ καὶ πρὸ πολλῶν ἐτῶν ἐγὼ ταῦτα ἀκριβῶς ἠπιστάμην.

Ὁ ἡγούμενος: Ἂς ἔνι, ξεύρομέν τον τίς τἄπεν.

Ὁ Ἰωσήφ: Τέως τῷ ὀρθοδοξεῖν αἱρουμένῳ πάντῃ ἀλλότρια τὰ προειρημένα. Τίς γὰρ κοινωνία τούτῳ ἢ συμφώνησις ἢ συγγένεια μετὰ τῶν υἱῶν τῆς κολάσεως; Ὑμεῖς δὲ καὶ μετὰ Νεστοριανῶν καὶ μετὰ Μαρ<κ>ιανῶν, μετὰ Σαβελλίων καὶ μεθ' ὧν οὕτω καλεῖτε Κοπτίδων, Ἰακωβιτῶν, Ἀρμενίων τε καὶ Ἀρείων καὶ πάντων ἀδιακρίτως καὶ ἀδεῶς ταῦτα πράττετε.

Ὁ Λευκωσίας: Κύριε ἐλέησον, καὶ ἀπὸ ὅλον τὸν κόσμον ἡμᾶς τοὺς Κυπρίους κατηγοροῦσιν ὅτι συνευχόμεθα τοῖς αἱρετικοῖς καὶ συλλειτουργοῦμεν τοῖς ἀνιέροις; Εἶα, ἐρώτησέ τον, ὅταν ἱερουργῇ ὁ πατριάρχης || **(f. 273)** τῶν Ἱεροσολύμων, μετὰ τίνων συμφορέν‹ει;

Ὁ Ἀμμοχώστου: Εἰς ἀλήθειαν, ἐγὼ ἔτυχα εἰς τὰ Ἱεροσόλυμα καὶ μίαν καὶ πολλὰς φορὰς καὶ εἶδα ὅτι εἰς τὸν αὐτὸν ναὸν καὶ τὴν αὐτὴν ὥραν εἰς μίαν λειτουργίαν ὁ πατριάρχης συμφορέν‹ει μὲ τοὺς Νεστούριδες, μὲ τοὺς Μονοθελῆτες, μὲ τοὺς Ἀρμένους καὶ μὲ πᾶσαν αἵρεσιν καὶ συλλειτουργεῖ μὲ ὅλους.

Ὁ Ἰωσήφ: Ἐγὼ ἔτι εἰς τὴν Ἱερουσαλὴμ οὐκ ἀπῆλθον, ὅθεν οὐδὲ γινώσκω ἀκριβῶς ἀποφήνασθαι περὶ τούτων. Ἐκεῖνο δὲ ὅμως ὡς ἀληθὲς καὶ λογίζομαι καὶ λέγω, ὅτι ναός ἐστι μέγας ὁ περὶ τὸν τοῦ Κυρίου τάφον καὶ ἔχει πολλὰ βήματα, ἤγουν μιᾷ ἑκάστῃ τῶν αἱρέσεων τόπος ἀφώρισται ἴδιος μέσον ἐκεῖ εἰς τρα-

---

419 ἐγκαλούμεθα K pro ἐνεκαλούμεθα 426 παίδας K 427 τ' ἄλλα K 430 ὧδε K 432 μαρτυροῦντος μοι K 436 ξεύρομέν τον τὶς τάπεν K 439 σαβελίων K 448 μονοθελήταις K

πέζης καὶ βήματος λόγον καὶ ὁ μὲν τῶν αἱρετικῶν εἰς τόδε μέρος τοῦ ναοῦ λειτουργεῖ, ὁ δ' εἰς ἄλλο, οὐ μὴν ὅτι ὁ πατριάρχης τῶν ὀρθοδόξων ἐν τῷ ἰδίῳ βήματι συλλειτουργεῖ ἢ συμφορένει τινὶ τῶν αἱρετικῶν.

Ὁ οἰκονόμος: Καὶ πῶς εἰς ὅλην τὴν Συρίαν, ὅταν μέλλωσι ποιεῖν πατριάρχην, ὁπόταν λέγω ψηφισθῇ ἄξιος εἶναι, ὁ σουλτάνος τίθησιν αὐτῷ τὸ τῆς ἑαυτοῦ κεφαλῆς φόρεμα καὶ περιάγουσιν αὐτὸν ὅλην τὴν πόλιν ἐκείνην, παίζοντες καὶ ἔμπροσθεν αὐτοῦ πάσης λογῆς παιγνίδια; Διατί ἐκείνῳ συγκοινωνεῖτε καὶ ἡμᾶς ἀποσχίζεσθε;

Ὁ Ἰωσήφ: Εἴτε γίνεται τοῦτο εἴτε καὶ μή, ἀκριβῶς οὐκ οἶδα. Πλὴν ἐκεῖνο κρῖνον δικαίως, ὅτι ἄλλο τὸ διὰ βίου παντὸς ἅπαξ συμβαῖνον, ὃ καὶ προεῖπον, ἀπόντος σου, καὶ ἕτερον τὸ διὰ παντὸς καὶ πάλιν ἄλλο τὸ κατ' ἐπιταγὴν γινόμενον κοσμικὴν καὶ ἄλλο τὸ καθ' ὑποταγὴν τελούμενον ἐκκλησιαστικήν, ὅτι ἐκεῖνο εὐθὺς παύεται, τοῦτο δὲ παντὶ τῷ βίῳ συμπαρεκτείνεται, ἐκεῖνο γίνεται εἰς πρόσωπον ἓν || (**f. 273v**) καὶ ἔστι συνήθεια ἄλογος μόνον, τοῦτο τελεῖται εἰς πάντας καὶ ἱεροπραξία ἔνι σαφής, ἐκεῖνο σωματικὴ ὑπηρεσία, τοῦτο ψυχικὴ ἀρρωστία. Τί παρομοιοῖς τὰ ἀνόμοια;

Ὁ ἡγούμενος: Θαυμάζω εἰς τοσαύτην φρόνησιν οἰκουμενικοῦ καὶ βασιλέως καὶ τοσούτων ἀρχιερέων, πῶς δυνάμενοι ἕνα ἀποστεῖλαι μετὰ γραμμάτων καὶ ἐρωτῆσαι ἡμᾶς εἰ δυνάμεθα ταῦτα ποιῆσαι ἢ μή, καὶ πάντως εἴ τι συνέβη, ἔμελλεν εἶναι σεσιγημένον τὸ πρᾶγμα, νῦν δὲ ἀπέστειλαν τρεῖς ἀνθ' ἑνὸς καὶ τὸ κεκρυμμένον ἀπεκαλύφθη καὶ γίνεται χεῖρον, ὅτι οὐδὲ συλλειτουργεῖτε ἡμῖν.

Ὁ Ἰωσήφ: Τοὺς ἀκριβεῖς λόγους ὡς μαργαρίτας ὑπὲρ ἑαυτῶν φυλάσσουσιν οἱ φρόνιμοι τῶν ἀνθρώπων. Φύλαττε γοῦν καὶ σὺ τοὺς σοὺς ὑπὲρ σοῦ. Τέως δὲ δι' ἐκεῖνο ἀπέστειλαν τρεῖς ἀνθ' ἑνός, ὅτι πολλῆς τοῦτο τὸ πρᾶγμα ἐδεῖτο καὶ ἐνεργείας καὶ σκέψεως καὶ ὅτι ὁ προελθὼν Θεόδουλος ἀχρεῖος ἐφάνη καὶ εἰς τοὺς λόγους καὶ εἰς τὰ πράγματα, ὡς οὐδὲ ὑμᾶς ἔλαθε τὰ περὶ ἐκείνου. Καὶ πανταχοῦ δὲ οἱ δύο ἢ οἱ τρεῖς μάρτυρες πιστότεροι τοῦ ἑνός, ὅθεν ἀκούεται, «ἀγαθοὶ οἱ δύο ὑπὲρ τὸν ἕνα».

Ὁ ἡγούμενος: Καὶ πῶς ταῦτα, ἅπερ ἐγκαλεῖτε ἡμῖν τὰ κεφάλαια, εἰς τὰ πιττάκια τῶν ἀποστειλάντων ὑμᾶς οὐ γέγραπται, ὡς φαίνεται ὅτι ὑμεῖς ἐξ ἑαυτῶν ταῦτα ἐπλάσατε καὶ κατηγορεῖτε ἡμῶν, προφασιζόμενοι καὶ αἰτίας ζητοῦντες, ὡς ἂν μὴ γένηται ἕνωσις;

Ὁ Ἰωσήφ: Οὐδαμῶς, ἀλλ' εἰ καὶ ἐγκαλῶ ὑμῖν, ἐνδικώτατα τοῦτο ποιῶ. Τούτου γὰρ χάριν καὶ τοποτηρητήν με κατέστησαν καὶ τὸ πᾶν μοι τῆς πράξεως ταύτης ἐκεῖθεν ἀνέθηκαν, ὡς ἂν ἐρευνήσω καὶ ἐξετάσω καὶ ἀνακρίνω πάντα τὰ ὑμῖν διαφέροντα. Οὐ γέγραπται δὲ ἐν τοῖς πρὸς ὑμᾶς γράμμασιν, ἵνα μὴ ἐμπεσόντα εἰς χεῖρας ἐχθρῶν, ἐκπολεμώσῃ τοὺς γείτονας ὑμῶν καὶ τὰ κοσμικὰ κυρίους καθ' ὑμῶν αὐτῶν καὶ ἡμῶν. Τηρεῖται || (**f. 274**) μέντοι παρ' ἡμῖν καί τινα

455 ὅδ' εἰς K 460 παιγνήδια K 463 κρίνον K

τούτων ἐν τῇ ὑποτυπώσει.

Ὁ Ἀμμοχώστου: Ποῦ ἔνι ἐκείνη ἡ ὑποτύπωσις;

Ὁ Ἰωσήφ: Φέρε ταύτην, δέσποτα, ὁ ἐπὶ τῶν κρίσεων.

Ὁ ἐπὶ τῶν κρίσεων: Ἰδοὺ αὕτη ἡ ὑποτύπωσις καὶ ἴδετε καὶ ἀνάγνωτε.

Ὁ Λευκωσίας: Τίνος ταῦτα τὰ γράμματα;

Ὁ πρωτοσύγγελος: Ταῦτα παρουσίᾳ πάσης τῆς συνόδου, εἰδήσει πατριαρχικῇ καὶ βασιλικῇ, ἔγραφε τῶν νοταρίων ὁ πριμμικήριος, ὧν τὰ ἴσα ἐν τῇ Ἁγίᾳ Σοφίᾳ φυλάττεται.

Ὁ δικαίῳ: Ὁρᾷς; Ἑπτὰ μόνα κεφάλαια ταῦτα, οὗτος δὲ μυρία ἡμῖν ἐγκαλεῖ.

Ὁ Ἰωσήφ: Ναί, καθὼς καὶ προεῖπον, εἰκότως τοῦτο ποιῶ, ὅτι ἐξουσία μοι δέδοται τὰ ἐκκλησιαστικὰ πάντα ὑμῶν ἀνακρῖναι καὶ μὴ ἀνεξετάστως ταύτην ποιῆσαι τὴν ἕνωσιν.

Ὁ Λευκωσίας: Ἰδοὺ ταῦτα καὶ βλέπομεν καὶ ἀνέγνωμεν. Τί κελεύετε περὶ τούτων;

Ὁ Ἰωσήφ: Οὐχ ἡμεῖς ἁπλῶς, ἀλλ' ὁ οἰκουμενικὸς καὶ ὁ ἅγιος βασιλεὺς σὺν πάσῃ τῇ ἱερᾷ καὶ ἁγίᾳ συνόδῳ συμβουλεύουσιν ἡμῖν δι' ἡμῶν ἀδελφικῶς τε καὶ πατρικῶς, εἴπερ τῇ ἁγιωτάτῃ τῶν ὀρθοδόξων ἐκκλησίᾳ βούλεσθε ἀληθῶς ἑνωθῆναι, ταῦτα καὶ τὰ τοιαῦτα κεφαλαιωδῶς ἐν ἑνὶ γράμματι ἐκθέμενοι καθεξῆς (φαμὲν δ' ὅσα ὑμᾶς τῆς ὀρθοδοξίας διίστησιν) ὑπογράψατε πάντες ἰδιοχείρως μηκέτι τούτοις ὑποκύψαι τοῖς σφάλμασιν, ἀπαιωρήσαντες τοῦ γράμματος καὶ τὰς βούλλας ὑμῶν, ἵνα καὶ τὰ πράγματα τοῖς ὑμῶν λόγοις καὶ γράμμασιν ἀκόλουθα γίνωνται καὶ τοῖς ὑμᾶς διαδεξομένοις τὰ τῆς ὁμολογίας ὑμῶν σαφῆ καὶ πρόδηλα μένῃ τὸν ἅπαντα χρόνον. Εἰ δ' οὖν, ὑμεῖς ὑπέρ τε ἑαυτῶν καὶ τοῦ ὑφ' ὑμῶν ποιμαινομένου λαοῦ ὄψεσθε.

Ὁ Λευκωσίας: Μωροὶ ὁμολογουμένως ἐσμὲν πάντες οἱ Κύπριοι καὶ οὐ καθήμεθα καὶ ἀναπαυόμεθα, ἀλλὰ ζητοῦμεν ἀδύνατα πράγματα. Ὥσπερ εἰσὶ καὶ ἄλλοι πολλοὶ ἀπολλύμενοι, || (**f. 274v**) ἐσόμεθα καὶ ὑμεῖς. Ἔχομεν πολλοὺς εἰς τοῦτο συντρόφους.

Ὁ Ἰωσήφ: Ἐξουσίαν ἔχετε σωθῆναι καὶ ἐξουσίαν ἔχετε ἀπολέσθαι. Ἡμεῖς δὲ τῶν ἡμᾶς πεμψάντων τοὺς λόγους οὐ παραβαίνομεν δι' οὐδὲν τῶν ὅσα τὴν αἴσθησιν τῆς ψυχῆς ἐκφοβεῖ ἢ κολακεύει τὸ φρόνημα. Πῶς γὰρ αὐτοὺς καὶ παραλογίσασθαι δυνησόμεθα, τῆς ὑποτυπώσεως ἐγγράφως, ὡς ἀνέγνωτε, διαγορευούσης ὅτι, ἐὰν ὁμολογῶσι τὴν τῆς Ῥώμης ἐκκλησίαν, ἤτοι τὸν πάπαν καὶ τοὺς ὑπ' αὐτὸν ἐπισκόπους, ὀρθόδοξα φρονεῖν καὶ οὐ σχισματικοὺς ἄντικρυς, μέχρις ἂν τὸ περὶ τούτου οἰκουμενικῇ συνόδῳ διακριθῇ, μηδαμῶς αὐτοῖς κοινωνήσητε.

Ὁ ἐπὶ τῶν κρίσεων: Εἰς πάντα ὁμοίως ἀπορεῖτε; Ἐάν, θελήσαντος τοῦ πατρός μου, τοῦ κυροῦ Ἰωσήφ, συγκαταβῶμεν ὑμῖν εἰς τὰ πολλά, κἂν τρία κἂν δύο

---

488 ὡσὰν K 498 νωταρίων K 502 ἀνακρίναι K 509 καθεξῆς (sic) K 512 ἀκόλουθα K 513-517 in marg. γνώμη habet K 520 in marg. ἀπό<κρισις> habet K

κἂν ἕν, οὐ μὴ φυλάξητε;

Ὁ Λευκωσίας: Οὐδὲ ἕν, οὐδὲ μέρος ἑνὸς φυλάξαι δυνάμεθα, ἀλλὰ παρακαλοῦμεν τὴν ἁγιωσύνην σας συγκαταβῆναι ἡμῖν εἰς πάντα, ὅπως τοσαῦται ψυχαὶ μὴ ἀπόλωνται.

Ὁ Ἰωσήφ: Πρὸς τοῦτο λέγω καὶ μέμνησθε ὅτι τότε ψυχαὶ σώζονται, ὅταν ἀρθῇ ἀπ' αὐτῶν τὰ μεθ' ὧν τῆς ἀπωλείας μετέχουσιν, ἀναφαιρέτων δ' ἐκείνων μενόντων, κατ' οὐδὲν ἧττον καὶ αὖθις ἀπόλλυνται, μηδὲν ἐκ τῶν γραμμάτων ἢ τῶν λόγων ὠφεληθεῖσαι, ὧν εἰκῇ καὶ μάτην τινὲς αὐταῖς ἐχαρίσαντο. Ὑμεῖς οὖν, εἰ ὅλως αἱρεῖσθε συναφθῆναι τοῖς ὀρθοδόξοις, καθὰ καὶ λόγοις ὑπεσχέθητε καὶ γράμμασιν ὑπεγράψατε φυλάττειν καὶ στέργειν ἀμείωτα, ὅσα ἡ τῆς Κωνσταντινουπόλεως ἐκκλησία ὀρθοδόξως τηρεῖ, ἀπόστητε πάντῃ τοῦ καὶ τὸν Ῥώμης ἅγιον ἢ ὀρθόδοξον λέγειν, τοῦ συμφορένειν τοῖς ὑπ' αὐτόν, τοῦ συλλειτουργεῖν τοῖς εἰς προφανῆ καὶ ἀσύγγνωστα πάθη ἁλισκομένοις, τοῦ συνεύχεσθαι τοῖς αἱρετικοῖς καὶ ἁπλῶς παντὸς || (**f. 275**) πάθους χωρίζοντος ὑμᾶς τοῦ τῶν ὀρθοδόξων πληρώματος, ὡς, ἐὰν οὕτω μενόντων ὑμῶν, ὡς «χθὲς καὶ πρώην», ἑνωθῶμεν ἡμεῖς σήμερον διὰ τοῦ συλλειτουργῆσαι, κινδυνεύει τὰς ἐν Συρίᾳ τρεῖς ἐκκλησίας τοῦ οἰκουμενικοῦ καὶ τῆς ὑπ' αὐτὸν ἐκκλησίας ἀπορραγῆναι καὶ τοὺς τὴν ἄμικτον ταύτην ἕνωσιν ποιησαμένους, ὁποῖοι ἂν ὦσι, καθαιρεθῆναι ὑμᾶς τε πάλιν εἰς τὰ συνήθη ἑκουσίως ἢ ἄλλως ἐπαναστρέψαντας, ἀναισχυντοτέρους πρὸς ταῦτα γενέσθαι καὶ ὁλικόν, οὐ μερικὸν ἀποβῆναι τὸ σχίσμα καὶ τὸ ἡμέτερον γένος γέλωτα ὄφλειν αἰώνιόν τε καὶ δυσαπόνιπτον. Ὧν ἐγὼ οὐκ ἀνέξομαι γενέσθαι μεσίτης ἢ αἴτιος οὐδ' οἱ μετ' ἐμοῦ, κἂν κρημνοῖς καὶ φρουραῖς καὶ βυθοῖς θαλάσσης καὶ πᾶσι δεινοῖς προσκαίροις ὑπόδικοι γενησώμεθα.

Ὁ ἡγούμενος: Οὐδὲν ἐκ τούτων τηρῆσαι, κἂν λόγῳ, ἰσχύομεν καὶ διὰ τοῦτο ἐκ τῆς Λευκωσίας ἐξεβάλομεν ὑμᾶς ἐπιτηδείως, ἵνα μὴ ἐν τῷ καιρῷ τῆς συνελεύσεως ταύτης ἔλθωσι καὶ ἄρχοντες καὶ ἀκούσωσι τὰ καθ' ἡμῶν κεφάλαια ταῦτα καὶ ἔχωσιν ἡμᾶς κατεγνωσμένους εἰς τὸ μετέπειτα διὰ ταῦτα καὶ ὅτι, ἅπερ ὑπεσχέθημεν γράφαντες, οὐ φυλάττομεν.

Ὁ Ἰωσήφ: Ἐνθυμίζω τὴν ἁγιωσύνην ὑμῶν συμβουλευτικῶς, ἀκούσατέ μου καὶ πείσθητέ μοι, οὐδὲν μέγα ζητεῖ παρ' ὑμῶν ἡ τοῦ Χριστοῦ ἐκκλησία, ἀλλ' ὅπερ αὐτοὶ ὑπεσχέθητε. Ὑπογράψατε γοῦν ὅτι μέλλετε πάντα τηρεῖν διὰ τῶν πραγμάτων, ἃ ὑπεσχέθητε γράμμασι, καὶ σφραγίσασθε τὰς ὁμολογίας ὑμῶν —δόξα γὰρ ὑμῶν ἔσται αἰώνιος— ἵνα καὶ παρ' ἡμῶν λαβόντες τὰ ἴσα, ἔχητε πρὸς βεβαίωσιν.

Ὁ δικαίῳ: Νὰ ὑπογράψωμεν καὶ ἀπεκεῖ, ἂν γνωρισθῇ, νὰ ἀποθάνωμεν; Δὲν μᾶς ἀπαντᾷ.

Ὁ Ἰωσήφ: Καὶ λοιπὸν ποῖον ἐστὶ τὸ κεφάλαιον, ὅπερ ἐκ τῆς ἐκκλησίας πα-

534 ἀρθῇ K 536 ὠφεληθῆσαι K 537 καθὰ (sic) 543 χθὲς καὶ πρώην: proverbialiter (cf. H. Stephanus, Thesaurus, 8.1483. s.v. χθές) 533 ἐξεβάλλομεν K

ραλαβόντες φυλάξετε, ἐξ οὗ γνωρίζεσθαι μέλλει ἡ πρὸς ταύτην ὑμῶν ὑποταγὴ καὶ εὐπείθεια; || **(f. 275v)** Καὶ εἰ πάντα ἐπαγγειλάμενοι φυλάξαι, οὐδὲν φυλάττετε, πῶς ὑμῖν εἰς ἕν τις πιστεύσει ὅτι φυλάξετε;

Ὁ δικαίῳ: Ἡ δύναμίς μας οὐδὲν λανθάνει τὴν ἁγιωσύνην σας.

Ὁ Ἰωσήφ: Πῶς δὲ ἐγράφετε καὶ ὑπεγράφετε πάντα τηρεῖν τὰ τῆς ἐκκλησίας θελήματα;

Ὁ ἡγούμενος: Ἐθαρροῦμεν ὅτι εἰς πάντα μέλλει συγκαταβῆναι ἡμῖν.

Ὁ Ἰωσήφ: Εἴπερ εἰς πάντα συγκαταβῶμεν ὑμῖν, τί κωλύει μὴ καὶ παντὶ σχισματικῷ καὶ παρασυναγώγῳ, μηδαμῶς τῆς ἰδίας πλάνης ἀφισταμένῳ, συγκαταβῆναι ἡμᾶς καὶ συλλειτουργεῖν αὐτῷ καὶ συγκοινωνεῖν ἐν τοῖς ἅπασιν;

Ὁ πρωτοπαπᾶς: Ἀλλ' οὐκ εἰσὶν οἱ Λατῖνοι αἱρετικοί.

Ὁ Ἰωσήφ: Ἀλλά γε σχισματικοὶ καὶ ἡμῖν κατὰ τὴν πίστιν παντάπασιν ἀκοινώνητοι. Τοὺς δὲ λόγους ὅτι οὕτω μέλλομεν εἰπεῖν, πόθεν ἐγινώσκετε καὶ ἐφυλάξασθε μὴ ἐν τῇ Λευκωσίᾳ, ὡς ἔφης, γενέσθαι τὴν σύνοδον;

Ὁ ἡγούμενος: Αὐτίκα τὸ νὰ ἰδοῦμεν τὴν ἁγιωσύνην σου ἐκεῖ, τὸ ἐλογισάμεθα, διότι γνωρίζω καλά.

Ὁ Ἀμμοχώστου: Ἐνωθῶμεν οὖν τῇ χάριτι τοῦ Θεοῦ, ὅτι καλὸν ἡ ἕνωσις τῶν διεστώτων καὶ τῶν ὑποστρεφόντων ἐκ πλάνης ὑποδοχὴ καὶ Θεῷ φίλον καὶ ἀνθρώποις ἐπαινετόν.

Ὁ Ἰωσήφ: Φημὶ κἀγὼ τοῦτο —καὶ πῶς γὰρ οὐ;— ἀλλ' ὅταν τὸ θέλον ἑνοῦσθαι τοῖς ἀγαθοῖς τῶν μὴ καλῶν ἀποστῇ καὶ τὸ ἐπιστρέφον ἐκ τῶν κακῶν μηκέτι πρὸς ταῦτα παλινδρομῇ. Ἡνίκα δὲ τοὐναντίον συμβαίνῃ, καλὸν πρὸς ταῦτα μᾶλλον τῆς ἑνώσεως ἡ διάστασις καὶ τῆς ὑποδοχῆς ἡ ἀποστροφή, ἵνα μὴ τοῖς καλοῖς τὰ μὴ τοιαῦτα συναναφύρηται. Ἢ τί ὑμῖν περὶ τοῦ παρ' ἡμῶν ἐνταῦθα δοκιμαζομένου γενέσθαι δοκεῖ; Ὑμεῖς ἴσως νομίζετε ὅτι ταῖς τέσσαρσι τῆς Ἀνατολῆς ἐκκλησίαις συνάψαι τὴν τῶν Κυπρίων σπουδάζομεν.

Ἅπαντες: Τοῦτο πρόδηλον, ἢ τί ἄλλο;

Ὁ Ἰωσήφ: Ἐγὼ δὲ μὴ μόνον ταύταις, ἀλλὰ πρό γε τούτων τῇ ἄνω τῶν πρωτοτόκων ἐκκλησίᾳ τῶν ἀπογεγραμμένων ἐν οὐρανοῖς. Τοῦτο δὲ ἀδύνατον ἄλλως γενέσθαι τῇ ἀληθείᾳ, εἰ μὴ πρότερον ταύτης ἄξια τῆς ἑνώσεως γένηται.

Ὁ ἔξαρχος: Πῶς ἔσται τοῦτο καὶ τίνι τρόπῳ;

Ὁ Ἰωσήφ: Ἐὰν τῶν ὧν ἐκείνη κεχώρισται, ὁλοσχερῶς καὶ αὐτὴ ἀποσπασθῇ, || **(f. 276)** ὅτι πᾶσα ἐπ' οὐδενὸς ἑτέρου γένους, ἐκ μόνου δὲ τοῦ ὀρθοδόξου συνίσταται. Οὐδεὶς λατινόφρων μετὰ τὸ σχίσμα, οὐδ' αἱρέσεως μέτοχος, οὐδὲ παρασυνάγωγος μέρος ἐκείνης ἢ μέτοχος γίνεται.

Ὁ Ἀμμοχώστου: Καὶ τί ἠθέλετε καὶ ἤλθετε λοιπόν, ἐπεὶ ἐγινώσκετε ὅτι οὐδὲν μέλλετε κατορθώσειν;

Ὁ Ἰωσήφ: Τοῖς γράμμασιν ὑμῶν ἐπιστεύσαμεν καὶ ἤλθομεν, ἅμα μὲν πληρώσοντες ὑποταγὴν ἐκκλησιαστικήν, ὡς ὀφειλὴν ἀπαραίτητον, σὺν ταύτῃ δὲ καὶ ἐπιταγὴν βασιλικήν, ἅμα δὲ καὶ θεάσασθαι ὀφθαλμοῖς ἀληθῶς, ἅπερ μόνον ἠκού-

ομεν, ὥστε τοὺς αὐτοὺς καὶ κριτὰς τῶν γινομένων γενέσθαι καὶ μάρτυρας.

Ὁ πρωτέκδικος: Νὰ ἔχω τὴν εὐχὴν τῶν ἁγίων, ἐὰν συγκαταβῆτε, τὰ ὀνόματα ὑμῶν ἐγγραφῆναι μέλλουσι καὶ μνημονεύεσθαι εἰς ὅλας τὰς ἐκκλησίας τῆς Κύπρου, ἕως ἡ Κύπρος ἵσταται, καὶ ὅλος ὁ κόσμος ἐπᾶν τοῦτο μάθῃ, καὶ ἐπαινεῖν ὑμᾶς καὶ εὔχεσθαι μέλλει πάντοτε.

Ὁ Ἰωσήφ: Ἐγὼ εἰς τὴν ἄνω ἐκκλησίαν τῶν ἁγίων ἐγγραφῆναι διψῶ καὶ κρεῖσσον ἐμοὶ παρ' ἑνὸς τῶν ἐκεῖ ἢ παρὰ πάντων Κυπρίων ἀεὶ μνημονεύεσθαι.

Ὁ πρωτέκδικος: Βλέπω ὅτι διάφορον οὐκ ἔχομεν.

Ὁ Λευκωσίας: Καὶ τέλος λοιπὸν τί λέγετε νὰ γένῃ;

Ὁ Ἰωσήφ: Ἐγὼ λέγω, ἐπεὶ ἔδοξε τῷ οἰκουμενικῷ τῇ τε ἁγίᾳ συνόδῳ καὶ τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ, μηδὲν ἄνευ τῆς ἡμῶν γνώμης τελεσθῆναι ἐνταῦθα, κρίνω ὅτι πάνυ πρέπον ἐστὶ καὶ ἀκόλουθον ἐξ ὑμῶν αὐτῶν τῶν τεσσάρων τέσσαρας πρέσβεις γενέσθαι ἢ δύο τὸ ἔλαττον καὶ τούτους Κυπρίους ὄντας, διακομιστὰς τῶν λόγων ὑμῶν, ἅμα δὲ καὶ τῶν παρ' ἡμῶν ὧδε πραχθέντων ἀψευδεῖς μάρτυρας. Τοὺς αὐτοὺς οὖν σὺν γράμμασι μεθ' ἡμῶν ἢ ἰδίᾳ εἰς τὴν σύνοδον ἐκπεμφθῆναι κἀκεῖ γενέσθαι, εἰ δέοι, σὺν παρρησίᾳ τὴν ἕνωσιν, ἐπείπερ ἐνταῦθα, καθὰ συνορᾶν ἔχω, ἀδύνατον. Κἂν καθ' ἡμῶν γράψαι τι αἱρεῖσθε, ἀδεῶς γράψατε τοῖς κυρίοις, θέλημα δίδωμι.

Ὁ ἡγούμενος: Οὐδένα ἀποστέλλομεν, οὐδενὶ γράφομεν, οὐδὲ μέλει ἡμῖν.

Ὁ οἰκονόμος: Καλὰ λέγει, ὅτι ἐὰν γνωσθῶσιν οἱ ἄνθρωποι, ἀποθνῄσκουσι καὶ πάλιν, ἐὰν πιάσουν τὰ γράμματα, κινδυνεύομεν ἅπαντες.

Ὁ Ἰωσήφ: Εἰ ἐνταῦθα μὲν φανερῶς || **(f. 276v)** πρᾶξαι τοῦτο ἀδυνατεῖτε, ἐκεῖ δὲ πέμψαι τινὰς οὐ τολμᾶτε, πῶς ὑμεῖς προσδεξώμεθα κεκρυμμένως; Ἀλλ' ὁμολογίαν πίστεως κεκρυμμένην οὔπω προσδέχεσθαι μεμαθήκαμεν, ἐπεὶ οὐδὲν ἔοικεν, ὅτι ὁ τοῦ θείου σταυροῦ τύπος καὶ ἡ ὁμολογία τῆς πίστεως πάντων ἐνώπιον ὁ μὲν γίνεσθαι, ἡ δὲ λέγεσθαι θέλει. «Στόμα» μὲν γάρ, φησί, λαμβάνεται εἰς ὁμολογίαν, «καρδία δὲ πιστεύεται εἰς δικαιοσύνην» καὶ «πᾶς ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς», ἵνα μὴ φανερωθῇ αὐτοῦ τὰ ἔργα, «πᾶν δὲ τὸ φανερούμενον φῶς ἐστι». Καὶ ὁ Κύριος δὲ «ὃς ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν» καὶ τὰ ἑξῆς ἀπεφήνατο. Πῶς δὲ καὶ δυνήσεσθε συσκιάσαι, ὅπερ πᾶσα σχεδὸν ἡ οἰκουμένη καὶ πρὸ τοῦ γενέσθαι ἐγνώρισε;

Ὁ Λευκωσίας: Καὶ θέλετε, ἵνα παραιτησώμεθα τὰς ἐπισκοπὰς καὶ ὡς θέλει τὸν κοινὸν γενέσθω;

Ὁ οἰκονόμος: Ἄλλον τον εἰπέ. Θέλετε, ἵνα συλλειτουργήσωμεν ὑμῖν φανερὰ

631-632 cf. Ro. 10.10 632-633 Joh. 3.20-21 634 Eph. 5.14 634-636 Mar. 8.38.

609 ἐπὰν K 619 ὧδε K 622 καθὰ (sic) K || γράψαί τι 627 πράξαι K 630 ἔοικεν K 640 ἄλλον τὸν εἰπέ K: Ἄλλον pro ἄλλο (vox Cypria?)

καὶ εἴ τι συμβῇ, νὰ ἔνε ἐπάνω σας;

Ὁ Ἰωσήφ: Οὐδὲν τούτων λέγω, ἕως ἂν αὐτόνομοι ἦ ὑφ' ἑτέραν ἐκκλησίαν ἐστέ. Ἐκεῖνο δὲ μετὰ λόγου κατηγορῶ πῶς, ὅπερ οὐκ εἴχετε, ὑπεσχέθητε καὶ πῶς τὴν μὲν πρὸς Λατίνους ὁμολογίαν ἐν μέσῃ τῇ μητροπόλει καὶ παρρησίᾳ ποιεῖτε, τὴν δὲ πρὸς ἡμᾶς ταύτην καὶ κρυπτῶς ὅσον οἷον καὶ μόγις καὶ μετὰ μυρίων ὑποψιῶν καὶ δειλίας καὶ ἐν ἐρήμῳ καὶ οὐδὲν ἄλλο πρὸς πάντων ψιθυριζόμενον ἐνταῦθα νῦν ἔστιν ἀκούειν ὅτι μὴ «μηδεὶς ταὐτὶ γινωσκέτω, προσέχετε, καλῶς φυλάξατε πάντα, μηδενὶ τοῦτο εἴπῃς» καὶ ἁπλῶς πάντα, ἅπερ ἀρνήσεως ἴδια, οὐχ ὁμολογίας ἐστίν;

Ὁ ἡγούμενος: Ἄχρι τούτου δυνάμεθα.

Ὁ Ἰωσήφ: Οὐχί, ἀλλ' ὑμεῖς ὡς ἐξ ὧν ὑμᾶς ὁρῶ, οὕτω καὶ ἐβούλεσθε καὶ προσεδοκᾶτε ταύτην γενέσθαι τὴν ἕνωσιν, πεμφθῆναι ὑμῖν ἐκεῖθεν μοναχὸν || (f. **277**) ἕνα προσαίτην ἐν προσαίτου σχήματι μετὰ τῶν τῆς ἑνώσεως γραμμάτων, ὃς καὶ δίχα τινὸς λόγου καὶ ἐξετάσεως κεφαλαίων ἢ κοινῆς συμφωνίας ἅμα τῷ δοῦναι τὰ γράμματα συλλειτουργεῖν ἔμελλεν ὡς παροδίτης, ἰδίᾳ μὲν τῷ Ἀμμοχώστου, ἰδίᾳ δὲ τῷ Λευκωσίας καὶ πάλιν χωρὶς μὲν τῷ Λεμισοῦ, ἰδίως δὲ τῷ τῆς Πάφου καὶ πάντας τοῦτο λαθεῖν, ἵνα εἴ τις τῶν Λατίνων ἐρωτᾶν μετὰ ταῦτα θελήσει τὸ περὶ τούτου, ἀδήλου ὄντος τοῦ πράγματος, μηδένα φοβεῖσθε μηδ' ὑποπτεύοιτε, κἀκεῖνον μὲν τὸν μοναχὸν μετὰ τὸ συλλειτουργῆσαι τοῖς ἐπισκόποις ὑμῖν, ἀπελθόντα τῆς νήσου, εὐθὺς οἴχεσθαι, ὑμᾶς δὲ τὰ γράμματα εἰς ἐπίδειξιν κατέχειν μόνον, ἐπεὶ οὐδὲ μετανοοῦντες ἐφ' οἷς ἐστέ, τὴν ἕνωσιν θέλετε, ἀλλὰ τοὺς ἐλέγχους τῶν κύκλῳ καὶ τῶν ἐπιδημούντων Ῥωμαίων ἀποφυγεῖν σπεύδοντες.

Ὁ Λευκωσίας: Ἐμὲ γράφει με συλλειτουργὸν ὁ οἰκουμενικὸς καὶ ἀρκεῖ με, ἵνα τὸ δείχνω παντὸς ἀνθρώπου, τὸ πῶς ἐγενόμεθα ἕν.

Ὁ Ἰωσήφ: Τότε καὶ γενέσθαι καὶ εἶναι συλλειτουργὸς αὐτοῦ μέλλεις, ὅταν φυλάξῃς καὶ τηρήσῃς σὺ καὶ οἱ ἄλλοι συλλειτουργοί σου τὰ ἐκκλησιαστικὰ πάντα ζητήματα καὶ κεφάλαια, ὅσα διὰ γραμμάτων οἰκειοχείρων ὑμῶν ὑπεσχέθητε, ὡς, ἕως ἂν ἐκεῖνα μὴ ἀληθείᾳ τηρήσητε, μύρια πιττάκια οὐδὲν ὑμᾶς ὠφελήσουσιν. Ἢ ἴσως ὑπονοεῖτε ὅτι τὰ σήμερον ὧδε πραττόμενα καὶ γραφόμενα ἡ νῆσος αὕτη ἀκούσεται μόνον; Πᾶσα γνώσεται ταῦτα ἡ οἰκουμένη, καθάπερ ἐρρέθη καὶ πέπρακται, ὀλίγον ἐντὸς ἡμερῶν.

Οἱ ἐπίσκοποι: Ἐν ἀληθείᾳ πῶς γέγονε τοῦτο; Εἰ ταῦτα ζητεῖν ἐμέλλετε ὕστερον, πῶς ἡμᾶς συλλειτουργοὺς ἐγράφετε πρὸ τῆς ἐξετάσεως;

Ὁ ἐπὶ τῶν κρίσεων: Ὅτι ὁ παπᾶς Θεόδουλος οὕτως ἔλεγεν ὑμᾶς ἑτοίμους εἶναι εἰς πάντα, ὥστε κατὰ μηδὲν πρᾶγμα ἐνδοιάζειν ποσῶς, ἀλλ' ὑπείκειν τῇ ἐκκλησίᾳ, ὡς θέλει καὶ βούλεται ἄγειν ὑμᾶς.

Ὁ Ἰωσήφ: Ναὶ καὶ προσετίθει ὅτι θελήσει τοῦ ῥηγὸς καὶ ἐνδόσει τἀδελφοῦ

---

670 ὧδε K 671 ἐρέθη K

αὐτοῦ πάντα γίνεται, ἐπεί φησιν ὁ μὲν ἄρχει τὰ κοσμικά, ὁ δὲ πάντων || (**f. 277v**) τῶν ἐκκλησιαστικῶν δικαίων τῆς νήσου ταύτης κρατεῖ. Καὶ ὑμεῖς δὲ εἰς τὰς ὑμῶν ὁμολογίας ὑπεγράφετε πάντες εἰς πάντα εἶναι ὑπήκοοι. Διὸ καὶ ὡς ἐπὶ πράγμασι τετελεσμένοις καὶ ἀπεστάλημεν παρὰ τῶν κυρίων καὶ ἤλθομεν καὶ πᾶσα δ' ἡ Κωνσταντίνου καὶ τὰ πέριξ αὐτῆς οὕτω δοκεῖ, τὰ δέ ἐστι πάντα, ὡς λόγος ἔτι, «ἄσπαρτα καὶ ἀνήροτα».

Ὁ Λευκωσίας: Καὶ τὸν Πίππην πῶς τὸν ἔχετε;

Ὁ Ἰωσήφ: Ὡς ἐξ ὑμῶν αὐτῶν ἕνα. Ἢ οὐχὶ συλλειτουργοῦσιν ὑμῖν οἱ ἐκείνου ἱερεῖς καὶ αὐτὸς καὶ ὑμεῖς δὲ ὡσαύτως ἐκείνοις καὶ ὁ ἀνεψιὸς αὐτοῦ παρὰ τῆς σῆς ἐχειροτονήθη χειρός, ὃν πρῶτον τῶν τῆς μονῆς αὐτοῦ ἱερέων πᾶσα ἡ Κύπρος γινώσκει τὸ τήμερον;

Ὁ Λευκωσίας: Ὦ ἀλλὰ ναί, κῦρι.

Τινές: Ἀφοῦ ἐγεννήθη, καὶ αὐτὸς καὶ οἱ μετ' αὐτοῦ μεθ' ἡμῶν ἔν εἰσι κατὰ πάντα.

Ὁ Ἰωσήφ: Ὥστε λοιπὸν ἀδιάφορος ὑμῖν ἐστιν ἅπασι καὶ εἰ πρὸς ἐξαπάτην τῶν πολλῶν ἕνα ἢ δύο τῶν μετ' αὐτοῦ ἱερέων ἐκ τῶν ἔξωθεν τὴν χειροτονίαν κεκτῆσθαί φησι καὶ φρονεῖν μόνος Κυπρίων ὀρθόδοξα διὰ χειλέων ὁμολογεῖ καὶ τὴν ἑαυτοῦ μονὴν ἀφωρισμένην εἶναι τοῖς ὀρθοδόξοις, ἐξ ἀπονοίας φαντάζεται.

Ὁ Ἀμμοχώστου: Εἰ τούτους προέγνων τοὺς λόγους ἐγώ, οὐκ ἂν ἡμᾶς ὧδε ἤγαγον. Διατί μὴ ταῦτα προείπατέ μοι;

Ὁ Ἰωσήφ: Ὅτι τοὺς κοινῇ ῥηθῆναι λόγους ὀφείλοντας ἐκρίναμεν πρέπον εἶναι τοῖς πᾶσι κοινώσασθαι, ὅτε χρή, οὐ μέντοι ἰδίως τινὶ καὶ ἡνίκα οὐκ ἔδει τούτους εἰκῇ διηγήσασθαι.

Τινές: Λοιπὸν ἐπεὶ πάντα ὡς ἐβούλεσθε ἐξητάσατε, συγκατάβητε, συγκατάβητε καὶ ἔτι ἡμῖν.

Ὁ Ἀμμοχώστου: Ὁ Κύριος οἶδεν ὅτι πολλὰ λυπούμεθα πῶς χωριζόμεθα χωρὶς τῆς ἑνώσεως.

Ὁ Ἰωσήφ: Πλέον αὐτὸς καὶ βαροῦμαι καὶ δυσχεραίνω πάντων ὑμῶν, γίνωσκε. Ἢ δοκεῖτε ὅτι μόνος πάντων ἀνθρώπων ἐγὼ ἄσπλαγχνός τις εἰμὶ καὶ ἀνένδοτος, καὶ ταῦτα πρὸς ψυχῶν τοσούτων ὠφέλειαν. Μάρτυς γὰρ μού ἐστιν ὁ τὰς «καρδίας ἐτάζων» ὡς, εἴπερ ἠπιστάμην ὅτι ἔστιν ἐκ τοῦ σήμερον ἡμᾶς συλλειτουργῆσαι ἀλλήλοις, δέκα μόνον κερδῆσαι ψυχάς, οὐκ ἂν || (**f. 278**) παρῃτησάμην τὴν ἕνωσιν δι' οὐδὲν τῶν προσκαίρων καὶ ὅσα μοι τὴν τοῦ σώματος σύστασιν ταύτην πέφυκε συνιστᾶν. Ἀλλ' οὐδέπω σαφῶς ὅπερ ἐβουλόμην ἐξήγγειλα, διὸ πειράσομαι ἄλλως τοῦτ' ἐξειπεῖν. Μιᾶς ψυχῆς ὁ πᾶς κόσμος οὐκ ἄξιος, μήτοιγε μυριάδων τοσούτων. Ἢ ἔστιν ἐνδοιάζειν ἐν τούτοις;

---

684 cf. Hom., Od., I. 123 etc. 709 Ps. 7.10; Jr. 11.20· 17.10; cf. Re. 2.23

---

689 τοτήμερον K 695 κεκτῆσθαι φησί K 697 ὧδε K 708 γάρ μου ἐστὶν K

Πάντες: Πᾶσι γνώριμον τοῦτο.

Ὁ Ἰωσήφ: Εἰ τοίνυν ἐγίνωσκον ἐκ τῆς μελετωμένης γενέσθαι ἑνώσεως ταύτης σωθησομένας τὰς τῶν Κυπρίων ψυχάς, τὰς νῦν φημι καὶ τὰς εἰς τὰς μετέπειτα γενεάς, καὶ προὔκειτό μοι χεῖρας ἅμα καὶ πόδας καὶ πάντα τμηθῆναι τὰ αἰσθητήρια, οὐκ ἂν παρῃτούμην. Ἆρ' οὐχὶ καὶ ἄπιστα ὑμῖν δοκῶ φθέγγεσθαι; Ἀλλὰ καὶ τοῦτο πρὸς ὃ μέλλω λέγειν, οὐδέν ἐστιν. Εἴ γε μοι προὔκειτο ἀληθείᾳ ἐκ τοῦ ὅπερ εἰμὶ τούτου εἰς τὸ μηδαμῇ μηδαμῶς εἶναι χωρῆσαι, μόνον πάντας ὑμᾶς τοὺς Κυπρίους σωθῆναι, ἡδέως τοῦτο κατεδεξάμην. Τίς γάρ εἰμι ἐγὼ ἢ τὸ εἶναί με ὅλως, πρὸς σωτηρίαν τοσούτων ψυχῶν συγκρινόμενα; Οὕτω διαθέσεως ἔχω καὶ γνώμης οὐ διὰ πρόσκαιρον φήμην ἢ μνήμην τὴν μετὰ θάνατον, ἀλλὰ δι' αὐτὸ τὸ καλὸν καὶ τοῦ Κυρίου τὸ θέλημα. Ὅπου δὲ οὐδεὶς πρόκειται πόνος, οὐδ' ἀφαίρεσις μέλους, οὐδὲ ζημία τις τῶν προσόντων, ἀλλὰ τιμαὶ καὶ χάριτες ἔπονται καὶ εὔφημοι φῆμαι, ὡς λέγετε, καὶ εἰς τὸν αἰῶνα εὐκτέα μνημόσυνα, διατί παραιτοῦμαι τὴν ἕνωσιν; Ἢ δῆλον ὅτι δέδοικα μὴ ἀναγαγεῖν ὑμᾶς ἐκ τοῦ βόθρου βουλόμενος, καὶ ἐμαυτὸν καὶ μυρίας μυριάδας σὺν ὑμῖν ἀπολέσω. Ἢ τάχα με τῇ τυχούσῃ τιμωρίᾳ ὑποκεῖσθαι νομίζετε, τῆς ἑνώσεως ταύτης μεσίτην γενόμενον, ἂν μὴ αὕτη καθὼς χρὴ τελεσθῇ, ἢ τὸν τυχόντα μισθὸν παρὰ Θεοῦ λήψεσθαι, εἴ γε τοσούτων ψυχῶν σωτηρίας παραίτιος εὑρεθῶ; Ἀποστόλου γὰρ [...] πρόκειταί μοι ἐπιτυχόντι καὶ δαίμονος κόλασις ἀστοχήσαντι. Διά τοι τοῦτο ταύτην τὴν κόλασιν φεύγων παραιτοῦμαι τὴν ἕνωσιν. Συνήκατε ὅση λύπη καὶ ἀγωνία τῇ ἐμῇ ψυχῇ ἐνοικεῖ ἕνεκεν τῆς ὑμῶν ἀπαλλοτριώσεως; Καὶ ὑμεῖς μὲν ἤλθατε δώδεκα μίλια.

Ὁ Ἀμμοχώστου: Οὐχὶ ἀλλὰ εἴκοσι.

Ὁ Ἰωσήφ: Ἔστωσαν καὶ τριάκοντα, ἡμεῖς δὲ χίλια τόσα, καὶ ταῦτα διὰ θαλάσσης, καὶ ὑπεμείναμεν πόσα δεινὰ καὶ ἔτι ὑποκείμεθα πνιγμῷ, αἰχμαλωσίᾳ, ναυαγίοις, κινδύνοις, ἀρρωστίαις, κακοπαθείαις, καθὰ δὴ καὶ βλέπετε προφανῶς, ἀρρωστοῦντας ἐξ ἄκρας κακοπαθείας ἡμᾶς.

Ὁ πρωτοσύγκελλος: || **(f. 278v)** Ὁ Κύριος γινώσκει ὅτι καὶ ἐγὼ καὶ ὁ ἀδελφός μου ὁ ἐπὶ τῶν κρίσεων τοσοῦτον ἐσμὲν ἀσθενεῖς, ὅτι ἐπὶ σκοπῷ τοῦ ἀποθανεῖν ἐν τῇ ὁδῷ μᾶλλον τῆς Ἀμμοχώστου ἐξήλθομεν ἢ τὰ ἐνταῦθα καταλαβεῖν.

Ὁ Ἰωσήφ: Ἀναλογίσασθε γοῦν ἐκ τῶν πραγμάτων αὐτῶν ἀγόμενοι, πόσον νομίζομεν τοῦτο βαρὺ τὸ χωρὶς τῆς ἑνώσεως, ὑπὲρ ἧς τοσαῦτα καὶ πάσχομεν καὶ πεπόνθαμεν καὶ πεισόμεθα, ὑμῶν ἀποστῆναι. Ἀλλὰ τί χρὴ ποιεῖν, εἰ μὴ τὸ τοῦ Θεοῦ μόνον θέλημα;

---

717 νῦν φημὶ K 722 γάρ εἰμὶ K 723 εἶναι με K 731 γενώμενον K 732 post Ἀποστόλου γὰρ fortasse <τιμὴ> 740 κακοπαθίαις K || καθὰ (sic.) K 741 κακοπαθίας K fol. 278 in marg. λοιπὸν ἵνα μὴ ἀστοχήσας, ὡς ἔφης, τιμωρίαν ὑπόκεισαι, τὴν ἕνωσιν ποίησον. *Ὁ Ἰωσήφ:* Ἀλλ', ὦ βέλτιστε, φθάσας ἔφην αὐτός. Ἀλλ' ἂν μὴ αὕτη [...] παρ' ἐμοῦ τελεσθῇ, κολάσεως στόμα· τοῦτο δέ ἐστιν, εἴγε μενόντων, [...] οις ἐλήφθητε τοῖς ὀρθοδ<όξοις> habet K

Οἱ ἐπίσκοποι: Διὰ ταῦτα λέγομεν, ἃς γένηται τὸ ζητούμενον, ἵνα μὴ λογισθῇ ὁ τοσοῦτος κόπος ὑμῶν εἰς κενόν.

Ὁ Ἰωσήφ: Οὐδενὸς κόπος ἀπόλλυται παρὰ τῷ Θεῷ, ἑκάστῳ δὲ πρὸς τὸν σκοπὸν καὶ τὴν εἰς τὸ καλὸν αὐτοῦ πρόθεσιν «πολλαπλάσιος ὁ μισθὸς» ἀποδίδοται. Ὅμως δὲ θέσθε τὸν νοῦν ὑμῶν καλῶς εἰς ὃ μέλλω λέγειν καὶ ὑμεῖς αὐτοὶ κρίνατε εἰ δίκαια λέγω ἢ μή. Τίς ἐκλέγεται ἀντὶ κέρδους ζημίαν, ἀντὶ τιμῶν ὕβρεις, ἀντὶ φήμης ἀγαθῆς δυσφημίαν, ἀντὶ χαρᾶς λύπην καὶ ἀντὶ φιλίας ἔχθραν πολλῶν, εἰ μήπου τίς ἐστιν ἀπολέσας τὸν νοῦν ἢ σώας μὲν ἔχειν τὰς φρένας, ἀνάγκῃ δέ τινι μείζονι κατεπείγεται; Ἡμεῖς οὖν σήμερον προδηλότατα αἱρούμεθα, ὡς ὁρᾶτε, ἀντὶ τῶν προτέρων τὰ δεύτερα, τοῦτο ποιοῦντες οὐκ ἄνευ λόγου, ἀλλ', ἐπειδὴ βλέπομεν ὅτι οὐδενὶ πείθεσθε τῇ ἐκκλησίᾳ, καθὼς ὑπεγράψατε, ἀλλά γε εἰς πάντα μένοντες ἀδιόρθωτοι, τὴν ἐκκλησίαν εἰς τὰ πάθη ὑμῶν ζητεῖτε συμπράκτορα, οὐχ ὑποκύψαι ταύτῃ καταδεχόμενοι, ἀλλ' ἐκείνην ὑμῖν αὐτοῖς ὑποκλῖναι φιλοτιμούμενοι, ὅπερ ἡμεῖς ποιῆσαι οὐκ ἐπετράπημεν, κἂν τοῦτο τολμήσωμεν πρᾶξαι, ὅπερ, Θεέ μου, μὴ γένοιτο, τότε μένει ἀβέβαιον καὶ ἀτέλεστον, ὅτι πᾶσιν ὑμῖν [...] γε ἀνάνευσις οὐκ ἔστιν, οὐδ' ἐπιστροφῆς ὅλως ἐλπίς. Ἀγροικία γὰρ μακρὰ καὶ πολυειδὴς πώρωσις καὶ κακίστη συνήθεια κατεκράτησε πάντων καὶ ἔτι μᾶλλον ὑπερισχύσει. Ἀλλ' ἕως πότε ἀδολεσχοῦντες μακρηγοροῦμεν; Τὸ θέλημα γενέσθω τὸ τοῦ Θεοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας.


Τούτων οὖν ῥηθέντων καὶ γράμμασι τυπωθέντων, αὐτίκα τὴν σύνοδον κατελύσαμεν καὶ πρὸ τοῦ ἡμᾶς ἀναχθῆναι τῆς Κύπρου εἰς μνήμην τῶν μετέπειτα πάσαις ταῦτα ταῖς ἐκκλησίαις γεγράφαμεν, ὡς ἂν οἱ ἐντυγχάνοντες τούτοις ὑμνοῦντες τὸ πανάγιον πνεῦμα καὶ τὸν Σωτῆρα εὐχαριστοῦντες Χριστόν, δοξάζωσι τὸν Θεὸν καὶ πατέρα, ὅτι ἠξίωσε καὶ ἡμᾶς ἡ πολυΰμνητος Τριὰς τὴν καθαρὰν ἡμῶν καὶ ἄσπιλον πίστιν εἰλικρινῆ τηρῆσαι καὶ ἀρραγῆ καὶ ἀμώμητον.

Ἔληξαν αὐχήν, δάκτυλοι τρεῖς καὶ γόνυ,
ὄμματα, γραφὶς, νοῦς, πτύχαι, μέλαν, στίχοι.


Πανεπιστήμιο Θεσσαλονίκης

753 cf. Luc. 18.30


757 εἰ μήπου τις ἔστιν K 763 ὑποκλίναι K 765 post ὑμῖν lacuna 2-3 litterarum K; fortasse <ἄρα>γε 771 ὡσ ἂν K 775-776 ante Ἔληξαν et post στίχοι cruces habet K 776 ὄμματα K



Πίν. 1. Χφ. Μονῆς Εἰκοσιφοινίσσης, ἀριθ. 247 (Dujčev, ἀριθ. 262), φ. 265.



Πίν. 2. Χφ. Μονῆς Εἰκοσιφοινίσσης, ἀριθ. 247 (Dujčev, ἀριθ. 262), φ. 278.



Πίν. 3. Χφ. Μονῆς Εἰκοσιφοινίσσης, ἀριθ. 247 (Dujčev, ἀριθ. 262), φ. 278v.